FH
24000
.981
-1

98
8
5574
1

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/1
UNIVERSITÄT LEIPZIG

FH 24000.987-1

Jahr | lfd. Nummer | Band | Unterteile

| | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| 9 | 8 | 8 | | 5 | 5 | 7 | 4 | | | | 1 | | | |

Format | PZ | Staffel

UNIVERSITÄTSBIBLIOTHEK LEIPZIG 0003268285

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/2 UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/3
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/4
UNIVERSITÄT LEIPZIG

# SCRIPTORVM CLASSICORVM
# BIBLIOTHECA OXONIENSIS

OXONII
E TYPOGRAPHEO CLARENDONIANO

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/5
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/6
UNIVERSITÄT LEIPZIG

neu

# EVRIPIDIS

# FABVLAE

EDIDIT

J. DIGGLE

COLLEGII REGINALIS APVD CANTABRIGIENSIS SOCIVS

## TOMVS I

INSVNT

CYCLOPS, ALCESTIS, MEDEA, HERACLIDAE, HIPPOLYTVS, ANDROMACHA, HECVBA

OXONII

E TYPOGRAPHEO CLARENDONIANO

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/7
UNIVERSITÄT LEIPZIG

*Oxford University Press, Walton Street, Oxford* OX2 6DP
*Oxford New York*
*Athens Auckland Bangkok Bogota Bombay*
*Buenos Aires Calcutta Cape Town Dar es Salaam*
*Delhi Florence Hong Kong Istanbul Karachi*
*Kuala Lumpur Madras Madrid Melbourne*
*Mexico City Nairobi Paris Singapore*
*Taipei Tokyo Toronto*
*and associated companies in*
*Berlin Ibadan*

*Oxford is a trade mark of Oxford University Press*

*Published in the United States by*
*Oxford University Press Inc., New York*

© *Oxford University Press 1984*

*All rights reserved. No part of this publication may be reproduced, stored in a retrieval system, or transmitted, in any form or by any means, without the prior permission in writing of Oxford University Press. Within the UK, exceptions are allowed in respect of any fair dealing for the purpose of research or private study, or criticism or review, as permitted under the Copyright, Designs and Patents Act, 1988, or in the case of reprographic reproduction in accordance with the terms of the licences issued by the Copyright Licensing Agency. Enquiries concerning reproduction outside these terms and in other countries should be sent to the Rights Department, Oxford University Press, at the address above*

*British Library Cataloguing in Publication Data*
*Euripides fabulae.—(Scriptorum classicorum bibliotheca Oxoniensis).—(Oxford classical texts)*
*Tomus 1*
*I. Title II. Diggle, James III. Series*
*882'.01 PA3973.A2*
*ISBN 0–19–814594–2*

1 3 5 7 9 10 8 6 4 2

*Printed in Great Britain on acid-free paper by*
*Bookcraft (Bath) Ltd., Midsomer Norton*

UNIVERSITÄTS BIBLIOTHEK LEIPZIG

98-8-5574
K
SLS 25.2.99
Di.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/8 UNIVERSITÄT LEIPZIG

# ΚΥΚΛΩΨ

## ΥΠΟΘΕϹΙϹ ΚΥΚΛΩΠΟϹ

Ὀδυϲϲεὺϲ ἀναχθεὶϲ ἐξ Ἰλίου εἰϲ Ϲικελίαν ἀπερρίφη, ἔνθα ὁ Πολύφημοϲ· εὑρὼν δὲ δουλεύονταϲ ἐκεῖ τοὺϲ Ϲατύρουϲ οἶνον δοὺϲ ἄρναϲ ἤμελλε λαμβάνειν καὶ γάλα παρ' αὐτῶν. ἐπιφανεὶϲ δ' ὁ Πολύφημοϲ ζητεῖ τὴν αἰτίαν τῆϲ τῶν ἰδίων ἐκφορήϲεωϲ. ὁ Ϲιληνὸϲ δὲ τὸν ξένον ληιϲτεύοντα καταλαβεῖν φηϲιν...

τὰ τοῦ δράματοϲ πρόϲωπα· Ϲιληνόϲ, χορὸϲ Ϲατύρων, Ὀδυϲϲεύϲ, Κύκλωψ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/10 UNIVERSITÄT LEIPZIG

# ΚΥΚΛΩΨ

*ΣΙΛΗΝΟΣ*

Ὦ Βρόμιε, διὰ cὲ μυρίους ἔχω πόνους
νῦν χὤτ' ἐν ἥβηι τοὐμὸν εὐcθένει δέμας·
πρῶτον μὲν ἡνίκ' ἐμμανὴς Ἥρας ὕπο
Νύμφας ὀρείας ἐκλιπὼν ᾤχου τροφούς·
ἔπειτά γ' ἀμφὶ γηγενῆ μάχην δορὸς
ἐνδέξιος cῶι ποδὶ παραςπιςτὴς βεβὼς
Ἐγκέλαδον ἰτέαν ἐς μέςην θενὼν δορὶ
ἔκτεινα—φέρ' ἴδω, τοῦτ' ἰδὼν ὄναρ λέγω;
οὐ μὰ Δί', ἐπεὶ καὶ cκῦλ' ἔδειξα Βακχίωι.
καὶ νῦν ἐκείνων μείζον' ἐξαντλῶ πόνον.
ἐπεὶ γὰρ Ἥρα cοι γένος Τυρςηνικὸν
ληιςτῶν ἐπῶρςεν, ὡς ὁδηθείης μακράν,
⟨ἐγὼ⟩ πυθόμενος cὺν τέκνοιςι ναυςτολῶ
cέθεν κατὰ ζήτηςιν. ἐν πρύμνηι δ' ἄκραι
αὐτὸς λαβὼν ηὔθυνον ἀμφῆρες δόρυ,
παῖδες δ' ⟨ἐπ'⟩ ἐρετμοῖς ἥμενοι γλαυκὴν ἅλα
ῥοθίοιςι λευκαίνοντες ἐζήτουν c', ἄναξ.
ἤδη δὲ Μαλέας πληςίον πεπλευκότας
ἀπηλιώτης ἄνεμος ἐμπνεύςας δορὶ
ἐξέβαλεν ἡμᾶς τήνδ' ἐς Αἰτναίαν πέτραν,
ἵν' οἱ μονῶπες ποντίου παῖδες θεοῦ
Κύκλωπες οἰκοῦς' ἄντρ' ἔρημ' ἀνδροκτόνοι.
τούτων ἑνὸς ληφθέντες ἐςμὲν ἐν δόμοις
δοῦλοι· καλοῦςι δ' αὐτὸν ὧι λατρεύομεν
Πολύφημον· ἀντὶ δ' εὐίων βακχευμάτων
ποίμνας Κύκλωπος ἀνοςίου ποιμαίνομεν.

παῖδες μὲν οὖν μοι κλειτύων ἐν ἐσχάτοις
νέμουσι μῆλα νέα νέοι πεφυκότες,
ἐγὼ δὲ πληροῦν πίστρα καὶ σαίρειν στέγας
μένων τέταγμαι τάσδε, τῶιδε δυσσεβεῖ
Κύκλωπι δείπνων ἀνοσίων διάκονος.
καὶ νῦν, τὰ προσταχθέντ', ἀναγκαίως ἔχει
σαίρειν σιδηρᾶι τῆιδέ μ' ἁρπάγηι δόμους,
ὡς τόν τ' ἀπόντα δεσπότην Κύκλωπ' ἐμὸν
καθαροῖσιν ἄντροις μῆλά τ' ἐσδεχώμεθα.
ἤδη δὲ παῖδας προσνέμοντας εἰσορῶ
ποίμνας. τί ταῦτα; μῶν κρότος σικινίδων
ὁμοῖος ὑμῖν νῦν τε χὤτε Βακχίωι
κῶμος συνασπίζοντες Ἀλθαίας δόμους
προσῆιτ' ἀοιδαῖς βαρβίτων σαυλούμενοι;

ΧΟΡΟΣ

παῖ γενναίων μὲν πατέρων [στρ.
γενναίων δ' ἐκ τοκάδων,
πᾶι δή μοι νίσηι σκοπέλους;
οὐ τᾶιδ' ὑπήνεμος αὔ-
ρα καὶ ποιηρὰ βοτάνα,
δινᾶέν θ' ὕδωρ ποταμῶν
ἐν πίστραις κεῖται πέλας ἄν-
τρων, οὗ σοι βλαχαὶ τεκέων;

ψύττ'· οὐ τᾶιδ', οὔ; [μεσῳδ.
οὐ τᾶιδε νεμῆι κλειτὺν δροσεράν;
ὠή, ῥίψω πέτρον τάχα σου·

ὕπαγ᾽ ὦ ὕπαγ᾽ ὦ κεράστα
⟨πρὸς⟩ μηλοβότα στασιωρὸν
Κύκλωπος ἀγροβάτα.

σπαργῶντας μαστοὺς χάλασον· [ἀντ.
δέξαι θηλὰς πορίσασ᾽ 56
οὓς λείπεις ἀρνῶν θαλάμοις.
ποθοῦσί σ᾽ ἁμερόκοι-
  τοι βλαχαὶ σμικρῶν τεκέων.
εἰς αὐλὰν πότ᾽ †ἀμφιβαίνεις† 60
ποιηροὺς λιποῦσα νομοὺς
  Αἰτναίων εἴσω σκοπελῶν;

οὐ τάδε Βρόμιος, οὐ τάδε χοροὶ [ἐπῳδ.
Βάκχαι τε θυρσοφόροι,
οὐ τυμπάνων ἀλαλαγμοί, 65
οὐκ οἴνου χλωραὶ σταγόνες 67
κρήναις παρ᾽ ὑδροχύτοις· 66
οὐδ᾽ ἐν Νύσαι μετὰ Νυμ- 68
  φᾶν ἴακχον ἴακχον ᾠι-
  δὰν μέλπω πρὸς τὰν Ἀφροδί- 70
  ταν, ἃν θηρεύων πετόμαν
Βάκχαις σὺν λευκόποσιν.
†ὦ φίλος ὦ φίλε Βακχεῖε
ποῖ οἰοπολεῖς
ξανθὰν χαίταν σείεις;† 75

ἐγὼ δ' ὁ ϲὸϲ πρόπολοϲ
Κύκλωπι θητεύω
τῶι μονοδέρκται δοῦλοϲ ἀλαίνων
ϲὺν τᾶιδε τράγου χλαίναι μελέαι
ϲᾶϲ χωρὶϲ φιλίαϲ.

Ϲι. ϲιγήϲατ', ὦ τέκν', ἄντρα δ' ἐϲ πετρηρεφῆ
ποίμναϲ ἀθροῖϲαι προϲπόλουϲ κελεύϲατε.
Χο. χωρεῖτ'· ἀτὰρ δὴ τίνα, πάτερ, ϲπουδὴν ἔχειϲ;
Ϲι. ὁρῶ πρὸϲ ἀκταῖϲ ναὸϲ Ἑλλάδοϲ ϲκάφοϲ
κώπηϲ τ' ἄνακταϲ ϲὺν ϲτρατηλάτηι τινὶ
ϲτείχονταϲ ἐϲ τόδ' ἄντρον· ἀμφὶ δ' αὐχέϲιν
τεύχη φέρονται κενά, βορᾶϲ κεχρημένοι,
κρωϲϲούϲ θ' ὑδρηλούϲ. ὦ ταλαίπωροι ξένοι·
τίνεϲ ποτ' εἰϲίν; οὐκ ἴϲαϲι δεϲπότην
Πολύφημον οἷοϲ ἐϲτιν ἄξενόν τε γῆν
τήνδ' ἐμβεβῶτεϲ καὶ Κυκλωπίαν γνάθον
τὴν ἀνδροβρῶτα δυϲτυχῶϲ ἀφιγμένοι.
ἀλλ' ἥϲυχοι γίγνεϲθ', ἵν' ἐκπυθώμεθα
πόθεν πάρειϲι Ϲικελὸν Αἰτναῖον πάγον.

ΟΔΥϹϹΕΥϹ
ξένοι, φράϲαιτ' ἂν νᾶμα ποτάμιον πόθεν
δίψηϲ ἄκοϲ λάβοιμεν εἴ τέ τιϲ θέλει
βορὰν ὀδῆϲαι ναυτίλοιϲ κεχρημένοιϲ;
⟨ἔα·⟩
τί χρῆμα; Βρομίου πόλιν ἔοιγμεν ἐϲβαλεῖν·
Ϲατύρων πρὸϲ ἄντροιϲ τόνδ' ὅμιλον εἰϲορῶ.
χαίρειν προϲεῖπα πρῶτα τὸν γεραίτατον.
Ϲι. χαῖρ', ὦ ξέν', ὅϲτιϲ δ' εἶ φράϲον πάτραν τε ϲήν.
Οδ. Ἴθακοϲ Ὀδυϲϲεύϲ, γῆϲ Κεφαλλήνων ἄναξ.

Cι. οἶδ' ἄνδρα, κρόταλον δριμύ, Cιcύφου γένος.
Οδ. ἐκεῖνος αὐτός εἰμι· λοιδόρει δὲ μή.
Cι. πόθεν Cικελίαν τήνδε ναυςτολῶν πάρει;
Οδ. ἐξ Ἰλίου γε κἀπὸ Τρωϊκῶν πόνων.
Cι. πῶς; πορθμὸν οὐκ ἤιδηcθα πατρῴας χθονός;
Οδ. ἀνέμων θύελλαι δεῦρό μ' ἥρπασαν βίαι.
Cι. παπαῖ· τὸν αὐτὸν δαίμον' ἐξαντλεῖς ἐμοί.
Οδ. ἦ καὶ cὺ δεῦρο πρὸς βίαν ἀπεστάλης;
Cι. ληιστὰς διώκων οἳ Βρόμιον ἀνήρπασαν.
Οδ. τίς δ' ἥδε χώρα καὶ τίνες ναίουσί νιν;
Cι. Αἰτναῖος ὄχθος Cικελίας ὑπέρτατος.
Οδ. τείχη δὲ ποῦ 'cτι καὶ πόλεως πυργώματα;
Cι. οὐκ ἔcτ'· ἔρημοι πρῶνες ἀνθρώπων, ξένε.
Οδ. τίνες δ' ἔχουσι γαῖαν; ἦ θηρῶν γένος;
Cι. Κύκλωπες, ἄντρ' ἔχοντες, οὐ στέγας δόμων.
Οδ. τίνος κλύοντες; ἢ δεδήμευται κράτος;
Cι. μονάδες· ἀκούει δ' οὐδὲν οὐδεὶς οὐδενός.
Οδ. σπείρουσι δ'—ἢ τῶι ζῶσι;—Δήμητρος στάχυν;
Cι. γάλακτι καὶ τυροῖσι καὶ μήλων βορᾶι.
Οδ. Βρομίου δὲ πῶμ' ἔχουσιν, ἀμπέλου ῥοάς;
Cι. ἥκιστα· τοιγὰρ ἄχορον οἰκοῦσι χθόνα.
Οδ. φιλόξενοι δὲ χὤσιοι περὶ ξένους;
Cι. γλυκύτατά φασι τὰ κρέα τοὺς ξένους φορεῖν.
Οδ. τί φήις; βορᾶι χαίρουσιν ἀνθρωποκτόνωι;
Cι. οὐδεὶς μολὼν δεῦρ' ὅστις οὐ κατεσφάγη.
Οδ. αὐτὸς δὲ Κύκλωψ ποῦ 'στιν; ἢ δόμων ἔσω;
Cι. φροῦδος, πρὸς Αἴτνηι θῆρας ἰχνεύων κυσίν.
Οδ. οἶcθ' οὖν ὃ δρᾶσον, ὡς ἀπαίρωμεν χθονός.
Cι. οὐκ οἶδ', Ὀδυσσεῦ· πᾶν δέ σοι δρώιημεν ἄν.

Οδ. ὄδηϲον ἡμῖν ϲῖτον, οὗ ϲπανίζομεν.
Cι. οὐκ ἔϲτιν, ὥϲπερ εἶπον, ἄλλο πλὴν κρέαϲ.
Οδ. ἀλλ' ἡδὺ λιμοῦ καὶ τόδε ϲχετήριον.
Cι. καὶ τυρὸϲ ὀπίαϲ ἔϲτι καὶ βοὸϲ γάλα.
Οδ. ἐκφέρετε· φῶϲ γὰρ ἐμπολήμαϲιν πρέπει.
Cι. ϲὺ δ' ἀντιδώϲειϲ, εἰπέ μοι, χρυϲὸν πόϲον;
Οδ. οὐ χρυϲὸν ἀλλὰ πῶμα Διονύϲου φέρω.
Cι. ὦ φίλτατ' εἰπών, οὗ ϲπανίζομεν πάλαι.
Οδ. καὶ μὴν Μάρων μοι πῶμ' ἔδωκε, παῖϲ θεοῦ.
Cι. ὃν ἐξέθρεψα ταῖϲδ' ἐγώ ποτ' ἀγκάλαιϲ;
Οδ. ὁ Βακχίου παῖϲ, ὡϲ ϲαφέϲτερον μάθηιϲ.
Cι. ἐν ϲέλμαϲιν νεώϲ ἐϲτιν ἢ φέρειϲ ϲύ νιν;
Οδ. ὅδ' ἀϲκὸϲ ὃϲ κεύθει νιν, ὡϲ ὁρᾶιϲ, γέρον.
Cι. οὗτοϲ μὲν οὐδ' ἂν τὴν γνάθον πλήϲειέ μου.
⟨Οδ. ⟩
⟨Cι. ⟩
Οδ. ναί· διϲ τόϲον πῶμ' ὅϲον ἂν ἐξ ἀϲκοῦ ῥυῆι.
Cι. καλήν γε κρήνην εἶπαϲ ἡδεῖάν τ' ἐμοί.
Οδ. βούληι ϲε γεύϲω πρῶτον ἄκρατον μέθυ;
Cι. δίκαιον· ἦ γὰρ γεῦμα τὴν ὠνὴν καλεῖ.
Οδ. καὶ μὴν ἐφέλκω καὶ ποτῆρ' ἀϲκοῦ μέτα.
Cι. φέρ' ἐγκάναξον, ὡϲ ἀναμνηϲθῶ πιών.
Οδ. ἰδού. Cι. παπαιάξ, ὡϲ καλὴν ὀϲμὴν ἔχει.
Οδ. εἶδεϲ γὰρ αὐτήν; Cι. οὐ μὰ Δί', ἀλλ' ὀϲφραίνομαι.
Οδ. γεῦϲαί νυν, ὡϲ ἂν μὴ λόγωι 'παινῆιϲ μόνον.
Cι. βαβαί· χορεῦϲαι παρακαλεῖ μ' ὁ Βάκχιοϲ.
ἆ ἆ ἆ.
Οδ. μῶν τὸν λάρυγγα διεκάναξέ ϲου καλῶϲ;
Cι. ὥϲτ' εἰϲ ἄκρουϲ γε τοὺϲ ὄνυχαϲ ἀφίκετο.
Οδ. πρὸϲ τῶιδε μέντοι καὶ νόμιϲμα δώϲομεν.
Cι. χάλα τὸν ἀϲκὸν μόνον· ἔα τὸ χρυϲίον.

Οδ. ἐκφέρετέ νυν τυρεύματ᾽ ἢ μήλων τόκον.
Cι. δράcω τάδ᾽, ὀλίγον φροντίcας γε δεcποτῶν.
ὡς ἐκπιών γ᾽ ἂν κύλικα μαινοίμην μίαν,
πάντων Κυκλώπων ἀντιδοὺς βοcκήματα
ῥίψας τ᾽ ἐς ἅλμην Λευκάδος πέτρας ἄπο
ἅπαξ μεθυcθεὶς καταβαλών τε τὰς ὀφρῦς.
ὡς ὅς γε πίνων μὴ γέγηθε μαίνεται·
ἵν᾽ ἔcτι τουτί τ᾽ ὀρθὸν ἐξανιcτάναι
μαcτοῦ τε δραγμὸς καὶ †παρεcκευαcμένου†
ψαῦcαι χεροῖν λειμῶνος ὀρχηcτύς θ᾽ ἅμα
κακῶν τε λῆcτις. εἶτ᾽ ἐγὼ ⟨οὐ⟩ κυνήcομαι
τοιόνδε πῶμα, τὴν Κύκλωπος ἀμαθίαν
κλαίειν κελεύων καὶ τὸν ὀφθαλμὸν μέcον;

Χο. ἄκου᾽, Ὀδυcceῦ· διαλαλήcωμέν τί cοι.
Οδ. καὶ μὴν φίλοι γε προcφέρεcθε πρὸς φίλον.
Χο. ἐλάβετε Τροίαν τὴν Ἑλένην τε χειρίαν;
Οδ. καὶ πάντα γ᾽ οἶκον Πριαμιδῶν ἐπέρcαμεν.
Χο. οὔκουν, ἐπειδὴ τὴν νεᾶνιν εἵλετε,
ἅπαντες αὐτὴν διεκροτήcατ᾽ ἐν μέρει,
ἐπεί γε πολλοῖς ἥδεται γαμουμένη,
τὴν προδότιν, ἣ τοὺς θυλάκους τοὺς ποικίλους
περὶ τοῖν cκελοῖν ἰδοῦcα καὶ τὸν χρύcεον
κλωιὸν φοροῦντα περὶ μέcον τὸν αὐχένα
ἐξεπτοήθη, Μενέλεων ἀνθρώπιον
λῶιcτον λιποῦcα; μηδαμοῦ γένος ποτὲ
φῦναι γυναικῶν ὤφελ᾽, εἰ μὴ ᾽μοὶ μόνωι.
Cι. ἰδού· τάδ᾽ ὑμῖν ποιμνίων βοcκήματα,
ἄναξ Ὀδυcceῦ, μηκάδων ἀρνῶν τροφαί,

πηκτοῦ γάλακτός τ' οὐ ϲπάνια τυρεύματα.
φέρεϲθε· χωρεῖθ' ὡϲ τάχιϲτ' ἄντρων ἄπο,
βότρυοϲ ἐμοὶ πῶμ' ἀντιδόντεϲ εὐίου.
οἴμοι· Κύκλωψ ὅδ' ἔρχεται· τί δράϲομεν;
Οδ. ἀπολώλαμέν τἄρ', ὦ γέρον· ποῖ χρὴ φυγεῖν;
Ϲι. ἔϲω πέτραϲ τῆϲδ', οὗπερ ἂν λάθοιτέ γε.
Οδ. δεινὸν τόδ' εἶπαϲ, ἀρκύων μολεῖν ἔϲω.
Ϲι. οὐ δεινόν· εἰϲὶ καταφυγαὶ πολλαὶ πέτραϲ.
Οδ. οὐ δῆτ'· ἐπεί τἂν μεγάλα γ' ἡ Τροία ϲτένοι,
εἰ φευξόμεϲθ' ἕν' ἄνδρα, μυρίον δ' ὄχλον
Φρυγῶν ὑπέϲτην πολλάκιϲ ϲὺν ἀϲπίδι.
ἀλλ', εἰ θανεῖν δεῖ, κατθανούμεθ' εὐγενῶϲ
ἢ ζῶντεϲ αἶνον τὸν πάροϲ ϲυϲϲώϲομεν.

ΚΥΚΛΩΨ

ἄνεχε πάρεχε· τί τάδε; τίϲ ἡ ῥαιθυμία;
τί βακχιάζετ'; οὐχὶ Διόνυϲοϲ τάδε,
οὐ κρόταλα χαλκοῦ τυμπάνων τ' ἀράγματα.
πῶϲ μοι κατ' ἄντρα νεόγονα βλαϲτήματα;
ἦ πρόϲ τε μαϲτοῖϲ εἰϲι χὐπὸ μητέρων
πλευρὰϲ τρέχουϲι, ϲχοινίνοιϲ τ' ἐν τεύχεϲιν
πλήρωμα τυρῶν ἔϲτιν ἐξημελγμένον;
τί φάτε, τί λέγετε; τάχα τιϲ ὑμῶν τῶι ξύλωι
δάκρυα μεθήϲει. βλέπετ' ἄνω καὶ μὴ κάτω.
Χο. ἰδού· πρὸϲ αὐτὸν τὸν Δί' ἀνακεκύφαμεν
καὶ τἄϲτρα καὶ τὸν Ὠρίωνα δέρκομαι.
Κυ. ἄριϲτόν ἐϲτιν εὖ παρεϲκευαϲμένον;
Χο. πάρεϲτιν· ὁ φάρυγξ εὐτρεπὴϲ ἔϲτω μόνον.
Κυ. ἦ καὶ γάλακτόϲ εἰϲι κρατῆρεϲ πλέωι;

Χο. ὥcτ᾽ ἐκπιεῖν γέ c᾽, ἢν θέληιc, ὅλον πίθον.
Κυ. μήλειον ἢ βόειον ἢ μεμειγμένον;
Χο. ὃν ἂν θέληιc cύ· μὴ ᾽μὲ καταπίνηιc μόνον.
Κυ. ἥκιcτ᾽· ἐπεί μ᾽ ἂν ἐν μέcηι τῆι γαcτέρι
πηδῶντεc ἀπολέcαιτ᾽ ἂν ὑπὸ τῶν cχημάτων.
ἔα· τίν᾽ ὄχλον τόνδ᾽ ὁρῶ πρὸc αὐλίοιc;
ληιcταί τινεc κατέcχον ἢ κλῶπεc χθόνα;
ὁρῶ γέ τοι τούcδ᾽ ἄρναc ἐξ ἄντρων ἐμῶν
cτρεπταῖc λύγοιcι cῶμα cυμπεπλεγμένουc
τεύχη τε τυρῶν cυμμιγῆ γέροντά τε
πληγαῖc μέτωπον φαλακρὸν ἐξωιδηκότα.
Cι. ὤμοι, πυρέccω cυγκεκομμένοc τάλαc.
Κυ. ὑπὸ τοῦ; τίc ἐc cὸν κρᾶτ᾽ ἐπύκτευcεν, γέρον;
Cι. ὑπὸ τῶνδε, Κύκλωψ, ὅτι τὰ c᾽ οὐκ εἴων φέρειν.
Κυ. οὐκ ἦιcαν ὄντα θεόν με καὶ θεῶν ἄπο;
Cι. ἔλεγον ἐγὼ τάδ᾽· οἱ δ᾽ ἐφόρουν τὰ χρήματα,
καὶ τόν γε τυρὸν οὐκ ἐῶντοc ἤcθιον
τούc τ᾽ ἄρναc ἐξεφοροῦντο· δήcαντεc δὲ cὲ
κλωιῶι τριπήχει, κατὰ τὸν ὀφθαλμὸν μέcον
τὰ cπλάγχν᾽ ἔφαcκον ἐξαμήcεcθαι βίαι,
μάcτιγί τ᾽ εὖ τὸ νῶτον ἀπολέψειν cέθεν,
κἄπειτα cυνδήcαντεc ἐc θάδώλια
τῆc ναὸc ἐμβαλόντεc ἀποδώcειν τινὶ
πέτρουc μοχλεύειν, ἢ ᾽c μυλῶνα καταβαλεῖν.
Κυ. ἄληθεc; οὔκουν κοπίδαc ὡc τάχιcτ᾽ ἰὼν
θήξειc μαχαίραc καὶ μέγαν φάκελον ξύλων
ἐπιθεὶc ἀνάψειc; ὡc cφαγέντεc αὐτίκα
πλήcουcι νηδὺν τὴν ἐμὴν ἀπ᾽ ἄνθρακοc

θερμὴν διδόντες δαῖτα τῶι κρεανόμωι,
τὰ δ' ἐκ λέβητος ἑφθὰ καὶ τετηκότα.
ὡς ἔκπλεώς γε δαιτός εἰμ' ὀρεσκόου·
ἅλις λεόντων ἐστί μοι θοινωμένωι
ἐλάφων τε, χρόνιος δ' εἴμ' ἀπ' ἀνθρώπων βορᾶς.
Cι. τὰ καινά γ' ἐκ τῶν ἠθάδων, ὦ δέcποτα,
ἡδίον' ἐcτίν. οὐ γὰρ οὖν νεωcτί γε
ἄλλοι πρὸc ἄντρα cοὐcαφίκοντο ξένοι.
Οδ. Κύκλωψ, ἄκουcον ἐν μέρει καὶ τῶν ξένων.
ἡμεῖc βορᾶc χρήιζοντες ἐμπολὴν λαβεῖν
cῶν ἆccον ἄντρων ἤλθομεν νεὼc ἄπο.
τοὺc δ' ἄρνας ἡμῖν οὗτοc ἀντ' οἴνου cκύφου
ἀπημπόλα τε κἀδίδου πιεῖν λαβὼν
ἑκὼν ἑκοῦcι, κοὐδὲν ἦν τούτων βίαι.
ἀλλ' οὗτοc ὑγιὲc οὐδὲν ὧν φηcιν λέγει,
ἐπεὶ κατελήφθη cοῦ λάθραι πωλῶν τὰ cά.
Cι. ἐγώ; κακῶc γ' ἄρ' ἐξόλοι'. Οδ. εἰ ψεύδομαι.
Cι. μὰ τὸν Ποcειδῶ τὸν τεκόντα c', ὦ Κύκλωψ,
μὰ τὸν μέγαν Τρίτωνα καὶ τὸν Νηρέα,
μὰ τὴν Καλυψὼ τάc τε Νηρέωc κόραc,
μὰ θαἰερὰ κύματ' ἰχθύων τε πᾶν γένοc,
ἀπώμοc', ὦ κάλλιcτον ὦ Κυκλώπιον,
ὦ δεcποτίcκε, μὴ τὰ c' ἐξοδᾶν ἐγὼ
ξένοιcι χρήματ'. ἦ κακῶc οὗτοι κακοὶ
οἱ παῖδεc ἀπόλοινθ', οὓc μάλιcτ' ἐγὼ φιλῶ.
Χο. αὐτὸc ἔχ'. ἔγωγε τοῖc ξένοιc τὰ χρήματα
περνάντα c' εἶδον· εἰ δ' ἐγὼ ψευδῆ λέγω,
ἀπόλοιθ' ὁ πατήρ μου· τοὺc ξένουc δὲ μὴ ἀδίκει.

Κυ. ψεύδεςθ'· ἔγωγε τῶιδε τοῦ Ῥαδαμάνθυος
μᾶλλον πέποιθα καὶ δικαιότερον λέγω.
θέλω δ' ἐρέςθαι· πόθεν ἐπλεύςατ', ὦ ξένοι;
ποδαποί; τίς ὑμᾶς ἐξεπαίδευςεν πόλις;
Οδ. Ἰθακήςιοι μὲν τὸ γένος, Ἰλίου δ' ἄπο,
πέρςαντες ἄςτυ, πνεύμαςιν θαλαςςίοις
cὴν γαῖαν ἐξωςθέντες ἥκομεν, Κύκλωψ.
Κυ. ἦ τῆς κακίςτης οἳ μετῆλθεθ' ἁρπαγὰς
Ἑλένης Cκαμάνδρου γείτον' Ἰλίου πόλιν;
Οδ. οὗτοι, πόνον τὸν δεινὸν ἐξηντληκότες.
Κυ. αἰςχρὸν ςτράτευμά γ', οἵτινες μιᾶς χάριν
γυναικὸς ἐξεπλεύςατ' ἐς γαῖαν Φρυγῶν.
Οδ. θεοῦ τὸ πρᾶγμα· μηδέν' αἰτιῶ βροτῶν.
ἡμεῖς δέ ς', ὦ θεοῦ ποντίου γενναῖε παῖ,
ἱκετεύομέν τε καὶ λέγομεν ἐλευθέρως·
μὴ τλῆις πρὸς ἄντρα ςοὐςαφιγμένους φίλους
κτανεῖν βοράν τε δυςςεβῆ θέςθαι γνάθοις·
οἳ τὸν ςόν, ὦναξ, πατέρ' ἔχειν ναῶν ἕδρας
ἐρρυςάμεςθα γῆς ἐν Ἑλλάδος μυχοῖς·
ἱερᾶς τ' ἄθραυςτος Ταινάρου μένει λιμὴν
Μαλέας τ' ἄκρας κευθμῶνες ἥ τε Cουνίου
δίας Ἀθάνας ςῶς ὑπάργυρος πέτρα
Γεραίςτιοί τε καταφυγαί· τά θ' Ἑλλάδος
†δύςφρον' ὀνείδη† Φρυξὶν οὐκ ἐδώκαμεν.
ὧν καὶ ςὺ κοινοῖ· γῆς γὰρ Ἑλλάδος μυχοὺς
οἰκεῖς ὑπ' Αἴτνηι, τῆι πυριςτάκτωι πέτραι.
νόμος δὲ θνητοῖς, εἰ λόγους ἀποςτρέφηι,
ἱκέτας δέχεςθαι ποντίους ἐφθαρμένους

ξένιά τε δοῦναι καὶ πέπλους ἐπαρκέσαι,
οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη
ὀβελοῖσι νηδὺν καὶ γνάθον πλῆσαι σέθεν.
ἅλις δὲ Πριάμου γαῖ' ἐχήρωσ' Ἑλλάδα
πολλῶν νεκρῶν πιοῦσα δοριπετῆ φόνον
ἀλόχους τ' ἀνάνδρους γραῦς τ' ἄπαιδας ὤλεσεν
πολιούς τε πατέρας. εἰ δὲ τοὺς λελειμμένους
σὺ συμπυρώσας δαῖτ' ἀναλώσεις πικράν,
ποῖ τρέψεταί τις; ἀλλ' ἐμοὶ πιθοῦ, Κύκλωψ·
πάρες τὸ μάργον σῆς γνάθου, τὸ δ' εὐσεβὲς
τῆς δυσσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ
κέρδη πονηρὰ ζημίαν ἠμείψατο.

Σι. παραινέσαι σοι βούλομαι· τῶν γὰρ κρεῶν
μηδὲν λίπῃς τοῦδ'· ἢν δὲ τὴν γλῶσσαν δάκῃς,
κομψὸς γενήσῃ καὶ λαλίστατος, Κύκλωψ.

Κυ. ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεός,
τὰ δ' ἄλλα κόμποι καὶ λόγων εὐμορφία.
ἄκρας δ' ἐναλίας αἷς καθίδρυται πατὴρ
χαίρειν κελεύω· τί τάδε προυστήσω λόγῳ;
Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε,
οὐδ' οἶδ' ὅτι Ζεύς ἐστ' ἐμοῦ κρείσσων θεός.
οὔ μοι μέλει τὸ λοιπόν· ὡς δ' οὔ μοι μέλει
ἄκουσον· ὅταν ἄνωθεν ὄμβρον ἐκχέῃ,
ἐν τῇδε πέτρᾳ στέγν' ἔχων σκηνώματα,
ἢ μόσχον ὀπτὸν ἤ τι θήρειον δάκος
δαινύμενος, εὖ τέγγων τε γαστέρ' ὑπτίαν,
ἐπεκπιὼν γάλακτος ἀμφορέα, πέπλον
κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
ὅταν δὲ βορέας χιόνα Θρῄκιος χέῃ,
δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν

καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.
ἡ γῆ δ' ἀνάγκηι, κἂν θέληι κἂν μὴ θέληι,
τίκτουσα ποίαν τἀμὰ πιαίνει βοτά.
ἁγὼ οὔτινι θύω πλὴν ἐμοί, θεοῖςι δ' οὔ,
καὶ τῆι μεγίστηι, γαστρὶ τῆιδε, δαιμόνων.
ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ' ἡμέραν,
Ζεὺς οὗτος ἀνθρώποιςι τοῖςι ςώφροςιν,
λυπεῖν δὲ μηδὲν αὑτόν. οἳ δὲ τοὺς νόμους
ἔθεντο ποικίλλοντες ἀνθρώπων βίον,
κλαίειν ἄνωγα· τὴν ⟨δ'⟩ ἐμὴν ψυχὴν ἐγὼ
οὐ παύσομαι δρῶν εὖ, κατεςθίων γε σέ.
ξένια δὲ λήψηι τοιάδ', ὡς ἄμεμπτος ὦ,
πῦρ καὶ πατρῷιον τόνδε χαλκόν, ὃς ζέςας
σὴν σάρκα διαφόρητον ἀμφέξει καλῶς.
ἀλλ' ἕρπετ' εἴςω, τοῦ κατ' αὔλιον θεοῦ
ἵν' ἀμφὶ βωμὸν στάντες εὐωχῆτέ με.
Οδ. αἰαῖ, πόνους μὲν Τρωϊκοὺς ὑπεξέδυν
θαλαςςίους τε, νῦν δ' ἐς ἀνδρὸς ἀνοςίου
ὠμὴν κατέςχον ἀλίμενόν τε καρδίαν.
ὦ Παλλάς, ὦ δέσποινα Διογενὲς θεά,
νῦν νῦν ἄρηξον· κρείςςονας γὰρ Ἰλίου
πόνους ἀφῖγμαι κἀπὶ κινδύνου βάθρα.
σύ τ', ὦ φαεννὰς ἀςτέρων οἰκῶν ἕδρας
Ζεῦ ξένι', ὅρα τάδ'· εἰ γὰρ αὐτὰ μὴ βλέπεις,
ἄλλως νομίζηι, Ζεῦ, τὸ μηδὲν ὢν θεός.

Χο. Εὐρείας φάρυγος, ὦ Κύκλωψ, [στρ.
ἀναστόμου τὸ χεῖλος· ὡς ἕτοιμά σοι
ἑφθὰ καὶ ὀπτὰ καὶ ἀνθρακιᾶς ἄπο ⟨θερμὰ⟩
χναύειν βρύκειν
κρεοκοπεῖν μέλη ξένων
δασυμάλλωι ἐν αἰγίδι κλινομένωι.

μὴ 'μοὶ μὴ προσδίδου· [μεσωιδ.
μόνος μόνωι γέμιζε πορθμίδος σκάφος.
χαιρέτω μὲν αὖλις ἅδε,
χαιρέτω δὲ θυμάτων
ἀποβώμιος †ἂν ἔχει θυσίαν†
Κύκλωψ Αἰτναῖος ξενικῶν
κρεῶν κεχαρμένος βορᾶι.

†νηλὴς ὦ τλᾶμον ὅστις δωμάτων† [ἀντ.
ἐφεστίους ἱκτῆρας ἐκθύει δόμων, 371
ἑφθά τε δαινύμενος μυσαροῖσί τ' ὀδοῦσιν 373
κόπτων βρύκων 372
θέρμ' ἀπ' ἀνθράκων κρέα 374
⟨ ⟩.

Οδ. ὦ Ζεῦ, τί λέξω, δείν' ἰδὼν ἄντρων ἔσω
κοὐ πιστά, μύθοις εἰκότ' οὐδ' ἔργοις βροτῶν;

Χο. τί δ' ἔςτ', Ὀδυςςεῦ; μῶν τεθοίναται cέθεν
φίλους ἑταίρους ἀνοςιώτατος Κύκλωψ;
Οδ. διςςούς γ' ἀθρήςας κἀπιβαςτάςας χεροῖν,
οἳ ςαρκὸς εἶχον εὐτραφέςτατον πάχος.
Χο. πῶς, ὦ ταλαίπωρ', ἦτε πάςχοντες τάδε;
Οδ. ἐπεὶ πετραίαν τήνδ' ἐςήλθομεν †χθόνα†,
ἀνέκαυςε μὲν πῦρ πρῶτον, ὑψηλῆς δρυὸς
κορμοὺς πλατείας ἐςχάρας βαλὼν ἔπι,
τριςςῶν ἁμαξῶν ὡς ἀγώγιμον βάρος,
καὶ χάλκεον λέβητ' ἐπέζεςεν πυρί. 392
ἔπειτα φύλλων ἐλατίνων χαμαιπετῆ 386
ἔςτρωςεν εὐνὴν πληςίον πυρὸς φλογί.
κρατῆρα δ' ἐξέπληςεν ὡς δεκάμφορον,
μόςχους ἀμέλξας, λευκὸν ἐςχέας γάλα,
ςκύφος τε κιςςοῦ παρέθετ' εἰς εὖρος τριῶν
πήχεων, βάθος δὲ τεςςάρων ἐφαίνετο, 391
ὀβελούς τ', ἄκρους μὲν ἐγκεκαυμένους πυρί, 393
ξεςτοὺς δὲ δρεπάνωι τἄλλα, παλιούρου κλάδων,
†Αἰτναῖά τε ςφαγεῖα πελέκεων γνάθοις†.
ὡς δ' ἦν ἕτοιμα πάντα τῶι θεοςτυγεῖ
Ἅιδου μαγείρωι, φῶτε ςυμμάρψας δύο
ἔςφαζ' ἑταίρων τῶν ἐμῶν, ῥυθμῶι θ' ἑνὶ
τὸν μὲν λέβητος ἐς κύτος χαλκήλατον
〈 〉
τὸν δ' αὖ, τένοντος ἁρπάςας ἄκρου ποδός,
παίων πρὸς ὀξὺν ςτόνυχα πετραίου λίθου

ἐγκέφαλον ἐξέρρανε· καὶ †καθαρπάσας†
λάβρωι μαχαίραι σάρκας ἐξώπτα πυρί,
τὰ δ᾽ ἐς λέβητ᾽ ἐφῆκεν ἕψεσθαι μέλη.
ἐγὼ δ᾽ ὁ τλήμων δάκρυ᾽ ἀπ᾽ ὀφθαλμῶν χέων
ἐχριμπτόμην Κύκλωπι κἀδιακόνουν·
ἄλλοι δ᾽ ὅπως ὄρνιθες ἐν μυχοῖς πέτρας
πτήξαντες εἶχον, αἷμα δ᾽ οὐκ ἐνῆν χροΐ.
ἐπεὶ δ᾽ ἑταίρων τῶν ἐμῶν πλησθεὶς βορᾶς
ἀνέπεσε, φάρυγος αἰθέρ᾽ ἐξανεὶς βαρύν,
ἐσῆλθέ μοί τι θεῖον· ἐμπλήσας σκύφος
Μάρωνος αὐτῶι τοῦδε προσφέρω πιεῖν,
λέγων τάδ᾽· Ὦ τοῦ ποντίου θεοῦ Κύκλωψ,
σκέψαι τόδ᾽ οἷον Ἑλλὰς ἀμπέλων ἄπο
θεῖον κομίζει πῶμα, Διονύσου γάνος.
ὁ δ᾽ ἔκπλεως ὢν τῆς ἀναισχύντου βορᾶς
ἐδέξατ᾽ ἔσπασέν ⟨τ᾽⟩ ἄμυστιν ἑλκύσας
κἀπήινεσ᾽ ἄρας χεῖρα· Φίλτατε ξένων,
καλὸν τὸ πῶμα δαιτὶ πρὸς καλῆι δίδως.
ἡσθέντα δ᾽ αὐτὸν ὡς ἐπῃσθόμην ἐγώ,
ἄλλην ἔδωκα κύλικα, γιγνώσκων ὅτι
τρώσει νιν οἶνος καὶ δίκην δώσει τάχα.
καὶ δὴ πρὸς ὠιδὰς εἶρπ᾽· ἐγὼ δ᾽ ἐπεγχέων
ἄλλην ἐπ᾽ ἄλληι σπλάγχν᾽ ἐθέρμαινον ποτῶι.
ἄιδει δὲ παρὰ κλαίουσι συνναύταις ἐμοῖς
ἄμουσ᾽, ἐπηχεῖ δ᾽ ἄντρον. ἐξελθὼν δ᾽ ἐγὼ
σιγῆι σὲ σῶσαι κἄμ᾽, ἐὰν βούληι, θέλω.
ἀλλ᾽ εἴπατ᾽ εἴτε χρήιζετ᾽ εἴτ᾽ οὐ χρήιζετε

φεύγειν ἄμεικτον ἄνδρα καὶ τὰ Βακχίου
ναίειν μέλαθρα Ναΐδων νυμφῶν μέτα.
ὁ μὲν γὰρ ἔνδον cὸc πατὴρ τάδ' ἤινεcεν·
ἀλλ' ἀcθενὴc γὰρ κἀποκερδαίνων ποτοῦ
ὥcπερ πρὸc ἰξῶι τῆι κύλικι λελημμένοc
πτέρυγαc ἀλύει· cὺ δέ (νεανίαc γὰρ εἶ)
cώθητι μετ' ἐμοῦ καὶ τὸν ἀρχαῖον φίλον
Διόνυcον ἀνάλαβ', οὐ Κύκλωπι προcφερῆ.

Χο. ὦ φίλτατ', εἰ γὰρ τήνδ' ἴδοιμεν ἡμέραν
Κύκλωποc ἐκφυγόντεc ἀνόcιον κάρα.
ὡc διὰ μακροῦ γε †τὸν cίφωνα τὸν φίλον
χηρεύομεν τόνδ' οὐκ ἔχομεν καταφαγεῖν.†

Οδ. ἄκουε δή νυν ἣν ἔχω τιμωρίαν
θηρὸc πανούργου cῆc τε δουλείαc φυγήν.

Χο. λέγ', ὡc Ἀcιάδοc οὐκ ἂν ἥδιον ψόφον
κιθάραc κλύοιμεν ἢ Κύκλωπ' ὀλωλότα.

Οδ. ἐπὶ κῶμον ἕρπειν πρὸc καcιγνήτουc θέλει
Κύκλωπαc ἡcθεὶc τῶιδε Βακχίου ποτῶι.

Χο. ξυνῆκ'· ἔρημον ξυλλαβὼν δρυμοῖcί νιν
cφάξαι μενοινᾶιc ἢ πετρῶν ὦcαι κάτα.

Οδ. οὐδὲν τοιοῦτον· δόλιοc ἡ προθυμία.

Χο. πῶc δαί; cοφόν τοί c' ὄντ' ἀκούομεν πάλαι.

Οδ. κώμου μὲν αὐτὸν τοῦδ' ἀπαλλάξαι, λέγων
ὡc οὐ Κύκλωψι πῶμα χρὴ δοῦναι τόδε,
μόνον δ' ἔχοντα βίοτον ἡδέωc ἄγειν.
ὅταν δ' ὑπνώccηι Βακχίου νικώμενοc,
ἀκρεμὼν ἐλαίαc ἔcτιν ἐν δόμοιcί τιc,
ὃν φαcγάνωι τῶιδ' ἐξαποξύναc ἄκρον

ἐς πῦρ καθήσω· κᾆιθ' ὅταν κεκαυμένον
ἴδω νιν, ἄρας θερμὸν ἐς μέσην βαλῶ
Κύκλωπος ὄψιν ὄμμα τ' ἐκτήξω πυρί.
ναυπηγίαν δ' ὡσεί τις ἁρμόζων ἀνὴρ
διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρωι
Κύκλωπος ὄψει καὶ συναυανῶ κόρας.

Χο. ἰοὺ ἰού·
γέγηθα μαινόμεσθα τοῖς εὑρήμασιν.

Οδ. κἄπειτα καὶ σὲ καὶ φίλους γέροντά τε
νεὼς μελαίνης κοῖλον ἐμβήσας σκάφος
διπλαῖσι κώπαις τῆσδ' ἀποστελῶ χθονός.

Χο. ἔστ' οὖν ὅπως ἂν ὡσπερεὶ σπονδῆς θεοῦ
κἀγὼ λαβοίμην τοῦ τυφλοῦντος ὄμματα
δαλοῦ; πόνου γὰρ τοῦδε κοινωνεῖν θέλω.

Οδ. δεῖ γοῦν· μέγας γὰρ δαλός, οὗ ξυλληπτέον.

Χο. ὡς κἂν ἁμαξῶν ἑκατὸν ἀραίμην βάρος,
εἰ τοῦ Κύκλωπος τοῦ κακῶς ὀλουμένου
ὀφθαλμὸν ὥσπερ σφηκιὰν ἐκθύψομεν.

Οδ. σιγᾶτέ νυν· δόλον γὰρ ἐξεπίστασαι·
χὤταν κελεύω, τοῖσιν ἀρχιτέκτοσιν
πείθεσθ'. ἐγὼ γὰρ ἄνδρας ἀπολιπὼν φίλους
τοὺς ἔνδον ὄντας οὐ μόνος σωθήσομαι.
[καίτοι φύγοιμ' ἂν κἀκβέβηκ' ἄντρου μυχῶν·
ἀλλ' οὐ δίκαιον ἀπολιπόντ' ἐμοὺς φίλους
ξὺν οἷσπερ ἦλθον δεῦρο σωθῆναι μόνον.]

Χο. ἄγε, τίς πρῶτος, τίς δ' ἐπὶ πρώτωι
ταχθεὶς δαλοῦ κώπην ὀχμάσαι

Κύκλωπος ἔσω βλεφάρων ὤσας
λαμπρὰν ὄψιν διακναίσει;
[ὠιδὴ ἔνδοθεν.]
σίγα σίγα. καὶ δὴ μεθύων
ἄχαριν κέλαδον μουσιζόμενος
σκαιὸς ἀπωιδὸς καὶ κλαυσόμενος
χωρεῖ πετρίνων ἔξω μελάθρων.
φέρε νιν κώμοις παιδεύσωμεν
τὸν ἀπαίδευτον·
πάντως μέλλει τυφλὸς εἶναι.

μάκαρ ὅστις εὐιάζει [στρ. α
βοτρύων φίλαισι πηγαῖς
ἐπὶ κῶμον ἐκπετασθεὶς
φίλον ἄνδρ' ὑπαγκαλίζων,
ἐπὶ δεμνίοις τε †ξανθὸν†
χλιδανᾶς ἔχων ἑταίρας
μυρόχριστος λιπαρὸν βό-
στρυχον, αὐδᾶι δέ· Θύραν τίς οἴξει μοι;

Κυ. παπαπαῖ· πλέως μὲν οἴνου, [στρ. β
γάνυμαι ⟨δὲ⟩ δαιτὸς ἥβαι,
σκάφος ὁλκὰς ὣς γεμισθεὶς
ποτὶ σέλμα γαστρὸς ἄκρας.
ὑπάγει μ' ὁ φόρτος εὔφρων
ἐπὶ κῶμον ἦρος ὥραις
ἐπὶ Κύκλωπας ἀδελφούς.
φέρε μοι, ξεῖνε, φέρ', ἀσκὸν ἔνδος μοι.

*Χο.* καλὸν ὄμμαcιν δεδορκὼc [*cτρ. γ*
καλὸc ἐκπερᾶι μελάθρων.
⟨ ⟩ φιλεῖ τίc ἡμᾶc;
λύχνα δ' †ἀμμένει δαΐα cὸν
χρόα χὼc† τέρεινα νύμφα
δροcερῶν ἔcωθεν ἄντρων.
cτεφάνων δ' οὐ μία χροιὰ
περὶ cὸν κρᾶτα τάχ' ἐξομιλήcει.

*Οδ.* Κύκλωψ, ἄκουcον· ὡc ἐγὼ τοῦ Βακχίου
τούτου τρίβων εἴμ', ὃν πιεῖν ἔδωκά coι.
*Κυ.* ὁ Βάκχιοc δὲ τίc; θεὸc νομίζεται;
*Οδ.* μέγιcτοc ἀνθρώποιcιν ἐc τέρψιν βίου.
*Κυ.* ἐρυγγάνω γοῦν αὐτὸν ἡδέωc ἐγώ.
*Οδ.* τοιόcδ' ὁ δαίμων· οὐδένα βλάπτει βροτῶν.
*Κυ.* θεὸc δ' ἐν ἀcκῶι πῶc γέγηθ' οἴκουc ἔχων;
*Οδ.* ὅπου τιθῆι τιc, ἐνθάδ' ἐcτὶν εὐπετήc.
*Κυ.* οὐ τοὺc θεοὺc χρὴ cῶμ' ἔχειν ἐν δέρμαcιν.
*Οδ.* τί δ', εἴ cε τέρπει γ'; ἢ τὸ δέρμα coι πικρόν;
*Κυ.* μιcῶ τὸν ἀcκόν· τὸ δὲ ποτὸν φιλῶ τόδε.
*Οδ.* μένων νυν αὐτοῦ πῖνε κεὐθύμει, Κύκλωψ.
*Κυ.* οὐ χρή μ' ἀδελφοῖc τοῦδε προcδοῦναι ποτοῦ;
*Οδ.* ἔχων γὰρ αὐτὸc τιμιώτεροc φανῆι.
*Κυ.* διδοὺc δὲ τοῖc φίλοιcι χρηcιμώτεροc.
*Οδ.* πυγμὰc ὁ κῶμοc λοίδορόν τ' ἔριν φιλεῖ.
*Κυ.* μεθύω μέν, ἔμπαc δ' οὔτιc ἂν ψαύcειέ μου.
*Οδ.* ὦ τᾶν, πεπωκότ' ἐν δόμοιcι χρὴ μένειν.
*Κυ.* ἠλίθιοc ὅcτιc μὴ πιὼν κῶμον φιλεῖ.

Οδ. ὃc δ' ἂν μεθυcθεὶc γ' ἐν δόμοιc μείνηι cοφόc.
Κυ. τί δρῶμεν, ὦ Cιληνέ; cοὶ μένειν δοκεῖ;
Cι. δοκεῖ· τί γὰρ δεῖ cυμποτῶν ἄλλων, Κύκλωψ;
Οδ. καὶ μὴν λαχνῶδέc γ' οὖδαc ἀνθηρᾶc χλόηc.
Cι. καὶ πρόc γε θάλποc ἡλίου πίνειν καλόν.
κλίθητί νύν μοι πλευρὰ θεὶc ἐπὶ χθονόc.
Κυ. ἰδού.
τί δῆτα τὸν κρατῆρ' ὄπιcθ' ἐμοῦ τίθηc;
Cι. ὡc μὴ παριών τιc καταβάληι. Κυ. πίνειν μὲν οὖν
κλέπτων cὺ βούληι· κάτθεc αὐτὸν ἐc μέcον.
cὺ δ', ὦ ξέν', εἰπὲ τοὔνομ' ὅτι cε χρὴ καλεῖν.
Οδ. Οὖτιν· χάριν δὲ τίνα λαβών c' ἐπαινέcω;
Κυ. πάντων c' ἑταίρων ὕcτερον θοινάcομαι.
Cι. καλόν γε τὸ γέραc τῶι ξένωι δίδωc, Κύκλωψ.
Κυ. οὗτοc, τί δρᾶιc; τὸν οἶνον ἐκπίνειc λάθραι;
Cι. οὔκ, ἀλλ' ἔμ' οὗτοc ἔκυcεν ὅτι καλὸν βλέπω.
Κυ. κλαύcηι, φιλῶν τὸν οἶνον οὐ φιλοῦντα cέ.
Cι. οὐ μὰ Δί', ἐπεί μού φηc' ἐρᾶν ὄντοc καλοῦ.
Κυ. ἔγχει, πλέων δὲ τὸν cκύφον δίδου μόνον.
Cι. πῶc οὖν κέκραται; φέρε διαcκεψώμεθα.
Κυ. ἀπολεῖc· δὸc οὕτωc. Cι. οὐ μὰ Δί', οὐ πρὶν ἄν γέ cε
cτέφανον ἴδω λαβόντα γεύcωμαί τ' ἔτι.
Κυ. οἰνοχόοc ἄδικοc. Cι. ⟨οὐ⟩ μὰ Δί', ἀλλ' οἶνοc
γλυκύc.
ἀπομακτέον δέ cοὐcτὶν ὡc λήψηι πιεῖν.

Κυ. ἰδού, καθαρὸν τὸ χεῖλος αἱ τρίχες τέ μου.
Ϲι. θὲϲ νυν τὸν ἀγκῶν᾽ εὐρύθμωϲ κᾆιτ᾽ ἔκπιε,
ὥϲπερ μ᾽ ὁρᾶιϲ πίνοντα χὥϲπερ οὐκ ἐμέ.
Κυ. ἆ ἆ, τί δράϲειϲ; Ϲι. ἡδέωϲ ἠμύϲτιϲα.
Κυ. λάβ᾽, ὦ ξέν᾽, αὐτὸϲ οἰνοχόοϲ τέ μοι γενοῦ.
Οδ. γιγνώϲκεται γοῦν ἄμπελοϲ τὴμῆι χερί.
Κυ. φέρ᾽ ἔγχεόν νυν. Οδ. ἐγχέω, ϲίγα μόνον.
Κυ. χαλεπὸν τόδ᾽ εἶπαϲ, ὅϲτιϲ ἂν πίνηι πολύν.
Οδ. ἰδού, λαβὼν ἔκπιθι καὶ μηδὲν λίπηιϲ·
ϲυνεκθανεῖν δὲ ϲπῶντα χρὴ τῶι πώματι.
Κυ. παπαῖ, ϲοφόν γε τὸ ξύλον τῆϲ ἀμπέλου.
Οδ. κἂν μὲν ϲπάϲηιϲ γε δαιτὶ πρὸϲ πολλῆι πολύν,
τέγξαϲ ἄδιψον νηδύν, εἰϲ ὕπνον βαλεῖ,
ἢν δ᾽ ἐλλίπηιϲ τι, ξηρανεῖ ϲ᾽ ὁ Βάκχιοϲ.
Κυ. ἰοὺ ἰού·
ὡϲ ἐξένευϲα μόγιϲ· ἄκρατοϲ ἡ χάριϲ.
ὁ δ᾽ οὐρανόϲ μοι ϲυμμεμειγμένοϲ δοκεῖ
τῆι γῆι φέρεϲθαι, τοῦ Διόϲ τε τὸν θρόνον
λεύϲϲω τὸ πᾶν τε δαιμόνων ἁγνὸν ϲέβαϲ.
οὐκ ἂν φιλήϲαιμ᾽; αἱ Χάριτεϲ πειρῶϲί με.
ἅλιϲ· Γανυμήδη τόνδ᾽ ἔχων ἀναπαύϲομαι
κάλλιον ἢ τὰϲ Χάριταϲ. ἥδομαι δέ πωϲ
τοῖϲ παιδικοῖϲι μᾶλλον ἢ τοῖϲ θήλεϲιν.
Ϲι. ἐγὼ γὰρ ὁ Διόϲ εἰμι Γανυμήδηϲ, Κύκλωψ;
Κυ. ναὶ μὰ Δί᾽, ὃν ἁρπάζω γ᾽ ἐγὼ ᾽κ τῆϲ Δαρδάνου.
Ϲι. ἀπόλωλα, παῖδεϲ· ϲχέτλια πείϲομαι κακά.
Κυ. μέμφηι τὸν ἐραϲτὴν κἀντρυφᾶιϲ πεπωκότι;

Cι. οἴμοι· πικρότατον οἶνον ὄψομαι τάχα.

Οδ. ἄγε δή, Διονύϲου παῖδεϲ, εὐγενῆ τέκνα,
ἔνδον μὲν ἀνήρ· τῶι δ' ὕπνωι παρειμένοϲ
τάχ' ἐξ ἀναιδοῦϲ φάρυγοϲ ὠθήϲει κρέα.
δαλὸϲ δ' ἔϲωθεν αὐλίων †ὠθεῖ† καπνὸν
παρευτρέπιϲται, κοὐδὲν ἄλλο πλὴν πυροῦν
Κύκλωποϲ ὄψιν· ἀλλ' ὅπωϲ ἀνὴρ ἔϲηι.
Χο. πέτραϲ τὸ λῆμα κἀδάμαντοϲ ἕξομεν.
χώρει δ' ἐϲ οἴκουϲ πρίν τι τὸν πατέρα παθεῖν
ἀπάλαμνον· ὥϲ ϲοι τἀνθάδ' ἐϲτὶν εὐτρεπῆ.
Οδ. Ἥφαιϲτ', ἄναξ Αἰτναῖε, γείτονοϲ κακοῦ
λαμπρὸν πυρώϲαϲ ὄμμ' ἀπαλλάχθηθ' ἅπαξ,
ϲύ τ', ὦ μελαίνηϲ Νυκτὸϲ ἐκπαίδευμ', Ὕπνε,
ἄκρατοϲ ἐλθὲ θηρὶ τῶι θεοϲτυγεῖ,
καὶ μὴ 'πὶ καλλίϲτοιϲι Τρωϊκοῖϲ πόνοιϲ
αὐτόν τε ναύταϲ τ' ἀπολέϲητ' Ὀδυϲϲέα
ὑπ' ἀνδρὸϲ ὧι θεῶν οὐδὲν ἢ βροτῶν μέλει.
ἢ τὴν τύχην μὲν δαίμον' ἡγεῖϲθαι χρεών,
τὰ δαιμόνων δὲ τῆϲ τύχηϲ ἐλάϲϲονα.

Χο. λήψεται τὸν τράχηλον
ἐντόνωϲ ὁ καρκίνοϲ
τοῦ ξενοδαιτυμόνοϲ· πυρὶ γὰρ τάχα
φωϲφόρουϲ ὀλεῖ κόραϲ.
ἤδη δαλὸϲ ἠνθρακωμένοϲ
κρύπτεται ἐϲ ϲποδιάν, δρυὸϲ ἄϲπετον
ἔρνοϲ. ἀλλ' ἴτω Μάρων, πραϲϲέτω,
μαινομένου 'ξελέτω βλέφαρον

Κύκλωποϲ, ὡϲ πίηι κακῶϲ.
κἀγὼ τὸν φιλοκιϲϲοφόρον Βρόμιον
ποθεινὸν εἰϲιδεῖν θέλω,
Κύκλωποϲ λιπὼν ἐρημίαν·
ἆρ᾽ ἐϲ τοϲόνδ᾽ ἀφίξομαι;

Οδ. ϲιγᾶτε πρὸϲ θεῶν, θῆρεϲ, ἡϲυχάζετε,
ϲυνθέντεϲ ἄρθρα ϲτόματοϲ· οὐδὲ πνεῖν ἐῶ,
οὐ ϲκαρδαμύϲϲειν οὐδὲ χρέμπτεϲθαί τινα,
ὡϲ μὴ ᾽ξεγερθῆι τὸ κακόν, ἔϲτ᾽ ἂν ὄμματοϲ
ὄψιϲ Κύκλωποϲ ἐξαμιλληθῆι πυρί.
Χο. ϲιγῶμεν ἐγκάψαντεϲ αἰθέρα γνάθοιϲ.
Οδ. ἄγε νυν ὅπωϲ ἅψεϲθε τοῦ δαλοῦ χεροῖν
ἔϲω μολόντεϲ· διάπυροϲ δ᾽ ἐϲτὶν καλῶϲ.
Χο. οὔκουν ϲὺ τάξειϲ οὕϲτιναϲ πρώτουϲ χρεὼν
καυτὸν μοχλὸν λαβόνταϲ ἐκκαίειν τὸ φῶϲ
Κύκλωποϲ, ὡϲ ἂν τῆϲ τύχηϲ κοινώμεθα;
Χο.[α] ἡμεῖϲ μέν ἐϲμεν μακροτέρω πρὸ τῶν θυρῶν
ἑϲτῶτεϲ ὠθεῖν ἐϲ τὸν ὀφθαλμὸν τὸ πῦρ.
Χο.[β] ἡμεῖϲ δὲ χωλοί γ᾽ ἀρτίωϲ γεγενήμεθα.
Χο.[α] ταὐτὸν πεπόνθατ᾽ ἆρ᾽ ἐμοί· τοὺϲ γὰρ πόδαϲ
ἑϲτῶτεϲ ἐϲπάϲθημεν οὐκ οἶδ᾽ ἐξ ὅτου.
Οδ. ἑϲτῶτεϲ ἐϲπάϲθητε; Χο.[α] καὶ τά γ᾽ ὄμματα
μέϲτ᾽ ἐϲτὶν ἡμῖν κόνεοϲ ἢ τέφραϲ ποθέν.

*Οδ.* ἄνδρες πονηροὶ κοὐδὲν οἵδε cύμμαχοι.
*Χο.* ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ' οἰκτίρομεν
καὶ τοὺc ὀδόνταc ἐκβαλεῖν οὐ βούλομαι
τυπτόμενοc, αὕτη γίγνεται πονηρία;
ἀλλ' οἶδ' ἐπωιδὴν Ὀρφέωc ἀγαθὴν πάνυ,
ὥcτ' αὐτόματον τὸν δαλὸν ἐc τὸ κρανίον
cτείχονθ' ὑφάπτειν τὸν μονῶπα παῖδα γῆc.
*Οδ.* πάλαι μὲν ἤιδη c' ὄντα τοιοῦτον φύcει,
νῦν δ' οἶδ' ἄμεινον. τοῖcι δ' οἰκείοιc φίλοιc
χρῆcθαί μ' ἀνάγκη. χειρὶ δ' εἰ μηδὲν cθένειc,
ἀλλ' οὖν ἐπεγκέλευέ γ', ὡc εὐψυχίαν
φίλων κελευcμοῖc τοῖcι coῖc κτηcώμεθα.
*Χο.* δράcω τάδ'· ἐν τῶι Καρὶ κινδυνεύcομεν.
κελευcμάτων δ' ἕκατι τυφέcθω Κύκλωψ.

ἰὼ ἰώ· γενναιότατ' ὠ-
θεῖτε cπεύδετ', ἐκκαίετε τὰν ὀφρὺν
θηρὸc τοῦ ξενοδαίτα.
τύφετ' ὦ, καίετ' ὦ
τὸν Αἴτναc μηλονόμον.
τόρνευ' ἕλκε, μή c' ἐξοδυνηθεὶc
δράcηι τι μάταιον.

*Κυ.* ὤμοι, κατηνθρακώμεθ' ὀφθαλμοῦ cέλαc.
*Χο.* καλόc γ' ὁ παιάν· μέλπε μοι τόνδ' αὖ, Κύκλωψ.
*Κυ.* ὤμοι μάλ', ὡc ὑβρίcμεθ', ὡc ὀλώλαμεν.
ἀλλ' οὔτι μὴ φύγητε τῆcδ' ἔξω πέτραc
χαίροντεc, οὐδὲν ὄντεc· ἐν πύλαιcι γὰρ
cταθεὶc φάραγγοc τῆcδ' ἐναρμόcω χέραc.

Χο. τί χρῆμ' ἀυτεῖϲ, ὦ Κύκλωψ; Κυ. ἀπωλόμην.
Χο. αἰϲχρόϲ γε φαίνηι. Κυ. κἀπὶ τοῖϲδέ γ' ἄθλιοϲ.
Χο. μεθύων κατέπεϲεϲ ἐϲ μέϲουϲ τοὺϲ ἄνθρακαϲ;
Κυ. Οὖτίϲ μ' ἀπώλεϲ'. Χο. οὐκ ἄρ' οὐδείϲ ⟨ϲ'⟩ ἠδίκει.
Κυ. Οὖτίϲ με τυφλοῖ βλέφαρον. Χο. οὐκ ἄρ' εἶ τυφλόϲ.
Κυ. †ὡϲ δὴ ϲύ†. Χο. καὶ πῶϲ ϲ' οὔτιϲ ἂν θείη τυφλόν;
Κυ. ϲκώπτειϲ. ὁ δ' Οὖτιϲ ποῦ 'ϲτιν; Χο. οὐδαμοῦ,
Κύκλωψ.
Κυ. ὁ ξένοϲ ἵν' ὀρθῶϲ ἐκμάθηιϲ μ' ἀπώλεϲεν,
ὁ μιαρόϲ, ὅϲ μοι δοὺϲ τὸ πῶμα κατέκλυϲεν.
Χο. δεινὸϲ γὰρ οἶνοϲ καὶ παλαίεϲθαι βαρύϲ.
Κυ. πρὸϲ θεῶν, πεφεύγαϲ' ἢ μένουϲ' ἔϲω δόμων;
Χο. οὗτοι ϲιωπῆι τὴν πέτραν ἐπήλυγα
λαβόντεϲ ἑϲτήκαϲι. Κυ. ποτέραϲ τῆϲ χερόϲ;
Χο. ἐν δεξιᾶι ϲου. Κυ. ποῦ; Χο. πρὸϲ αὐτῆι τῆι
πέτραι.
ἔχειϲ; Κυ. κακόν γε πρὸϲ κακῶι· τὸ κρανίον
παίϲαϲ κατέαγα. Χο. καί ϲε διαφεύγουϲί γε.
Κυ. οὐ τῆιδέ πηι, τῆιδ' εἶπαϲ; Χο. οὔ· ταύτηι λέγω.
Κυ. πῆι γάρ; Χο. περιάγου κεῖϲε, πρὸϲ τἀριϲτερά.
Κυ. οἴμοι γελῶμαι· κερτομεῖτέ μ' ἐν κακοῖϲ.
Χο. ἀλλ' οὐκέτ', ἀλλὰ πρόϲθεν οὗτόϲ ἐϲτι ϲοῦ.
Κυ. ὦ παγκάκιϲτε, ποῦ ποτ' εἶ; Οδ. τηλοῦ ϲέθεν
φυλακαῖϲι φρουρῶ ϲῶμ' Ὀδυϲϲέωϲ τόδε.
Κυ. πῶϲ εἶπαϲ; ὄνομα μεταβαλὼν καινὸν λέγειϲ.
Οδ. ὅπερ μ' ὁ φύϲαϲ ὠνόμαζ' Ὀδυϲϲέα.
δώϲειν δ' ἔμελλεϲ ἀνοϲίου δαιτὸϲ δίκαϲ·
καλῶϲ γὰρ ἂν Τροίαν γε διεπυρώϲαμεν
εἰ μή ϲ' ἑταίρων φόνον ἐτιμωρηϲάμην.

Κυ. αἰαῖ· παλαιὸς χρησμὸς ἐκπεραίνεται·
τυφλὴν γὰρ ὄψιν ἐκ σέθεν σχήσειν μ' ἔφη
Τροίας ἀφορμηθέντος. ἀλλὰ καὶ σέ τοι
δίκας ὑφέξειν ἀντὶ τῶνδ' ἐθέσπισεν,
πολὺν θαλάσσηι χρόνον ἐναιωρούμενον.

Οδ. κλαίειν σ' ἄνωγα· καὶ δέδραχ' ὅπερ λέγω.
ἐγὼ δ' ἐπ' ἀκτὰς εἶμι καὶ νεὼς σκάφος
ἥσω 'πὶ πόντον Σικελὸν ἔς τ' ἐμὴν πάτραν.

Κυ. οὐ δῆτ', ἐπεί σε τῆσδ' ἀπορρήξας πέτρας
αὐτοῖσι συνναύταισι συντρίψω βαλών.
ἄνω δ' ἐπ' ὄχθον εἶμι, καίπερ ὢν τυφλός,
δι' ἀμφιτρῆτος τῆσδε προσβαίνων ποδί.

Χο. ἡμεῖς δὲ συνναῦταί γε τοῦδ' Ὀδυσσέως
ὄντες τὸ λοιπὸν Βακχίωι δουλεύσομεν.

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/38
UNIVERSITÄT LEIPZIG

# ΑΛΚΗϹΤΙϹ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/39 UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/40
UNIVERSITÄT LEIPZIG

(a)

## ΥΠΟΘΕϹΙϹ ΑΛΚΗϹΤΙΔΟϹ ⟨ΔΙΚΑΙΑΡΧΟΥ⟩

*Ἀπόλλων ἠιτήϲατο παρὰ τῶν Μοιρῶν ὅπωϲ Ἄδμητοϲ τελευτᾶν μέλλων παράϲχηι τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴϲον τῶι προτέρωι χρόνον ζήϲηι. καὶ δὴ Ἄλκηϲτιϲ, ἡ γυνὴ τοῦ Ἀδμήτου, ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων ἐθελήϲαντοϲ ὑπὲρ τοῦ παιδὸϲ ἀποθανεῖν. μετ᾽ οὐ πολὺ δὲ ταύτηϲ τῆϲ ϲυμφορᾶϲ γενομένηϲ Ἡρακλῆϲ παραγενόμενοϲ καὶ μαθὼν παρά τινοϲ θεράποντοϲ τὰ περὶ τὴν Ἄλκηϲτιν ἐπορεύθη ἐπὶ τὸν τάφον καὶ Θάνατον ἀποϲτῆναι ποιήϲαϲ ἐϲθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα τηρεῖν. εἰληφέναι γὰρ αὐτὴν πάληϲ ἆθλον ἔλεγεν. μὴ βουλομένου δὲ ἐκείνου ἀποκαλύψαϲ ἔδειξεν ἣν ἐπένθει.*

## ⟨ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕϹΙϹ⟩

Ἄλκηϲτιϲ, ἡ Πελίου θυγάτηρ, ὑπομείναϲα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸϲ τελευτῆϲαι, Ἡρακλέουϲ ἐπιδημήϲαντοϲ ἐν τῆι Θετταλίαι διαϲώιζεται, βιαϲαμένου τοὺϲ χθονίουϲ θεοὺϲ καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρωι κεῖται ἡ μυθοποιία. τὸ δρᾶμα ἐποιήθη ιζ. ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντοϲ ὀλυμπιάδι ⟨πε ἔτει β⟩. πρῶτοϲ ἦν Ϲοφοκλῆϲ, δεύτεροϲ Εὐριπίδηϲ Κρήϲϲαιϲ, Ἀλκμέωνι τῶι διὰ Ψωφῖδοϲ, Τηλέφωι, Ἀλκήϲτιδι, ⟨τρίτοϲ . . .⟩. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταϲτροφήν. ἡ μὲν ϲκηνὴ τοῦ δράματοϲ ὑπόκειται ἐν Φεραῖϲ, μιᾶι πόλει τῆϲ Θετταλίαϲ· ὁ δὲ χορὸϲ ϲυνέϲτηκεν ἔκ τινων πρεϲβυτῶν ἐντοπίων, οἳ καὶ παραγίνονται ϲυμπαθήϲοντεϲ τῆι τῆϲ Ἀλκήϲτιδοϲ ϲυμφορᾶι. προλογίζει δὲ Ἀπόλλων. †εἰϲιδ' ἐχορηγοί†.

τὸ δὲ δρᾶμά ἐϲτι ϲατυρικώτερον, ὅτι εἰϲ χαρὰν καὶ ἡδονὴν καταϲτρέφει παρὰ τὸ τραγικόν. ἐκβάλλεται ὡϲ ἀνοίκεια τῆϲ τραγικῆϲ ποιήϲεωϲ ὅ τε Ὀρέϲτηϲ καὶ ἡ Ἄλκηϲτιϲ, ὡϲ ἐκ ϲυμφορᾶϲ μὲν ἀρχόμενα, εἰϲ εὐδαιμονίαν ⟨δὲ⟩ καὶ χαρὰν λήξαντα, ⟨ἃ⟩ ἐϲτι μᾶλλον κωμωιδίαϲ ἐχόμενα.

## *ΑΛΚΗCΤΙC*

*τὰ τοῦ δράματοc πρόcωπα· Ἀπόλλων, Θάνατοc, χορόc, θεράπαινα, Ἄλκηcτιc, Ἄδμητοc, Εὔμηλοc, Ἡρακλῆc, Φέρηc, θεράπων.*

*ἐξιὼν ἐκ τοῦ οἴκου τοῦ Ἀδμήτου προλογίζει ὁ Ἀπόλλων ῥητορικῶc.*

(b)

[ litt. c. xvi ]ι̣ο̣λ̣[.].[
κα]τ̣έλυcεν πα̣[ρά
cυ]μφορὰν οπ̣[
].χηc αὐτ[
δεδ]ακρυμέν[
ἔ]μ̣αθεν παρ[ά
παρ]αγενόμεν[οc
]ν τὸν Θάν[ατον
]εκρακα̣ι̣[
].ν̣ε̣...[
τὴ]ν Ἄλκηcτ̣ι̣[ν

c]υγκαλυ[
].λαβόντ[α
].πάληc ἆθ[λον
].ου χάριν τ.[
]ε̣κ̣καλυψα̣[c
[.....]..[..]..[ ]

# ΑΛΚΗϹΤΙϹ

ΑΠΟΛΛΩΝ

Ὦ δώματ' Ἀδμήτει', ἐν οἷϲ ἔτλην ἐγὼ
θῆϲϲαν τράπεζαν αἰνέϲαι θεόϲ περ ὤν.
Ζεὺϲ γὰρ κατακτὰϲ παῖδα τὸν ἐμὸν αἴτιοϲ
Ἀϲκληπιόν, ϲτέρνοιϲιν ἐμβαλὼν φλόγα·
οὗ δὴ χολωθεὶϲ τέκτοναϲ Δίου πυρὸϲ
κτείνω Κύκλωπαϲ· καί με θητεύειν πατὴρ
θνητῶι παρ' ἀνδρὶ τῶνδ' ἄποιν' ἠνάγκαϲεν.
ἐλθὼν δὲ γαῖαν τήνδ' ἐβουφόρβουν ξένωι
καὶ τόνδ' ἔϲωιζον οἶκον ἐϲ τόδ' ἡμέραϲ.
ὁϲίου γὰρ ἀνδρὸϲ ὅϲιοϲ ὢν ἐτύγχανον
παιδὸϲ Φέρητοϲ, ὃν θανεῖν ἐρρυϲάμην,
Μοίραϲ δολώϲαϲ· ἤινεϲαν δέ μοι θεαὶ
Ἄδμητον Ἅιδην τὸν παραυτίκ' ἐκφυγεῖν,
ἄλλον διαλλάξαντα τοῖϲ κάτω νεκρόν.
πάνταϲ δ' ἐλέγξαϲ καὶ διεξελθὼν φίλουϲ,
[πατέρα γεραιάν θ' ἥ ϲφ' ἔτικτε μητέρα,]
οὐχ ηὗρε πλὴν γυναικὸϲ ὅϲτιϲ ἤθελεν
θανὼν πρὸ κείνου μηκέτ' εἰϲορᾶν φάοϲ·
ἣν νῦν κατ' οἴκουϲ ἐν χεροῖν βαϲτάζεται
ψυχορραγοῦϲαν· τῆιδε γάρ ϲφ' ἐν ἡμέραι
θανεῖν πέπρωται καὶ μεταϲτῆναι βίου.
ἐγὼ δέ, μὴ μίαϲμά μ' ἐν δόμοιϲ κίχηι,
λείπω μελάθρων τῶνδε φιλτάτην ϲτέγην.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/45 UNIVERSITÄT LEIPZIG

ἤδη δὲ τόνδε Θάνατον εἰcορῶ πέλας,
ἱερέα θανόντων, ὅc νιν εἰc Ἅιδου δόμουc
μέλλει κατάξειν· cυμμέτρωc δ' ἀφίκετο,
φρουρῶν τόδ' ἦμαρ ὧι θανεῖν αὐτὴν χρεών.

ΘΑΝΑΤΟϹ

ἆ ἆ·
τί cὺ πρὸc μελάθροιc; τί cὺ τῆιδε πολεῖc,
Φοῖβ'; ἀδικεῖc αὖ τιμὰc ἐνέρων
ἀφοριζόμενοc καὶ καταπαύων;
οὐκ ἤρκεcέ coι μόρον Ἀδμήτου
διακωλῦcαι, Μοίραc δολίωι
cφήλαντι τέχνηι; νῦν δ' ἐπὶ τῆιδ' αὖ
χέρα τοξήρη φρουρεῖc ὁπλίcαc,
ἣ τόδ' ὑπέcτη, πόcιν ἐκλύcαc'
αὐτὴ προθανεῖν Πελίου παῖc;

Απ. θάρcει· δίκην τοι καὶ λόγουc κεδνοὺc ἔχω.
Θα. τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχειc;
Απ. cύνηθεc αἰεὶ ταῦτα βαcτάζειν ἐμοί.
Θα. καὶ τοῖcδέ γ' οἴκοιc ἐκδίκωc προcωφελεῖν.
Απ. φίλου γὰρ ἀνδρὸc cυμφοραῖc βαρύνομαι.
Θα. καὶ νοcφιεῖc με τοῦδε δευτέρου νεκροῦ;
Απ. ἀλλ' οὐδ' ἐκεῖνον πρὸc βίαν c' ἀφειλόμην.
Θα. πῶc οὖν ὑπὲρ γῆc ἐcτι κοὐ κάτω χθονόc;
Απ. δάμαρτ' ἀμείψαc, ἣν cὺ νῦν ἥκειc μέτα.
Θα. κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.
Απ. λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἂν εἰ πείcαιμί cε.
Θα. κτείνειν γ' ὃν ἂν χρῆι; τοῦτο γὰρ τετάγμεθα.

Απ. οὐκ, ἀλλὰ τοῖϲ μέλλουϲι θάνατον ἀμβαλεῖν.
Θα. ἔχω λόγον δὴ καὶ προθυμίαν ϲέθεν.
Απ. ἔϲτ' οὖν ὅπωϲ Ἄλκηϲτιϲ ἐϲ γῆραϲ μόλοι;
Θα. οὐκ ἔϲτι· τιμαῖϲ κἀμὲ τέρπεϲθαι δόκει.
Απ. οὔτοι πλέον γ' ἂν ἢ μίαν ψυχὴν λάβοιϲ.
Θα. νέων φθινόντων μεῖζον ἄρνυμαι γέραϲ.
Απ. κἂν γραῦϲ ὄληται, πλουϲίωϲ ταφήϲεται.
Θα. πρὸϲ τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τίθηϲ.
Απ. πῶϲ εἶπαϲ; ἀλλ' ἦ καὶ ϲοφὸϲ λέληθαϲ ὤν;
Θα. ὠνοῖντ' ἂν οἷϲ πάρεϲτι γηραιοὶ θανεῖν.
Απ. οὔκουν δοκεῖ ϲοι τήνδε μοι δοῦναι χάριν;
Θα. οὐ δῆτ'· ἐπίϲταϲαι δὲ τοὺϲ ἐμοὺϲ τρόπουϲ.
Απ. ἐχθρούϲ γε θνητοῖϲ καὶ θεοῖϲ ϲτυγουμένουϲ.
Θα. οὐκ ἂν δύναιο πάντ' ἔχειν ἃ μή ϲε δεῖ.
Απ. ἦ μὴν ϲὺ πείϲηι καίπερ ὠμὸϲ ὢν ἄγαν·
τοῖοϲ Φέρητοϲ εἶϲι πρὸϲ δόμουϲ ἀνὴρ
Εὐρυϲθέωϲ πέμψαντοϲ ἵππειον μετὰ
ὄχημα Θρῄκηϲ ἐκ τόπων δυϲχειμέρων,
ὃϲ δὴ ξενωθεὶϲ τοῖϲδ' ἐν Ἀδμήτου δόμοιϲ
βίαι γυναῖκα τήνδε ϲ' ἐξαιρήϲεται.
κοὔθ' ἡ παρ' ἡμῶν ϲοι γενήϲεται χάριϲ
δράϲειϲ θ' ὁμοίωϲ ταῦτ' ἀπεχθήϲηι τ' ἐμοί.
Θα. πόλλ' ἂν ϲὺ λέξαϲ οὐδὲν ἂν πλέον λάβοιϲ·
ἡ δ' οὖν γυνὴ κάτειϲιν εἰϲ Ἅιδου δόμουϲ.
ϲτείχω δ' ἐπ' αὐτήν, ὡϲ κατάρξωμαι ξίφει·
ἱερὸϲ γὰρ οὗτοϲ τῶν κατὰ χθονὸϲ θεῶν
ὅτου τόδ' ἔγχοϲ κρατὸϲ ἁγνίϲηι τρίχα.

ΧΟΡΟϹ

τί ποθ' ἡϲυχία πρόϲθεν μελάθρων;
τί ϲεϲίγηται δόμοϲ Ἀδμήτου;
— ἀλλ' οὐδὲ φίλων πέλαϲ ⟨ἔϲτ'⟩ οὐδείϲ,
ὅϲτιϲ ἂν εἴποι πότερον φθιμένην
χρὴ βαϲίλειαν πενθεῖν ἢ ζῶϲ'
ἔτι φῶϲ λεύϲϲει Πελίου τόδε παῖϲ
Ἄλκηϲτιϲ, ἐμοὶ πᾶϲί τ' ἀρίϲτη
δόξαϲα γυνὴ
πόϲιν εἰϲ αὑτῆϲ γεγενῆϲθαι.

— κλύει τιϲ ἢ ϲτεναγμὸν ἢ [ϲτρ. α
χειρῶν κτύπον κατὰ ϲτέγαϲ
ἢ γόον ὡϲ πεπραγμένων;
— οὐ μὰν οὐδέ τιϲ ἀμφιπόλων
ϲτατίζεται ἀμφὶ πύλαϲ.
εἰ γὰρ μετακοίμιοϲ ἄταϲ,
ὦ Παιάν, φανείηϲ.

— οὔ τἂν φθιμέναϲ γ' ἐϲιώπων.
— †οὐ γὰρ δὴ φροῦδόϲ γ' ἐξ οἴκων νέκυϲ ἤδη.†



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/48 UNIVERSITÄT LEIPZIG

— πόθεν; οὐκ αὐχῶ. τί ϲε θαρϲύνει;
— πῶϲ ἂν ἔρημον τάφον Ἄδμητοϲ
κεδνῆϲ ἂν ἔπραξε γυναικόϲ;

— πυλῶν πάροιθε δ' οὐχ ὁρῶ [ἀντ. α
πηγαῖον ὡϲ νομίζεται
χέρνιβ' ἐπὶ φθιτῶν πύλαιϲ.
— χαίτα τ' οὔτιϲ ἐπὶ προθύροιϲ
τομαῖοϲ, †ἃ δὴ νεκύων
πένθει πίτνει, οὐδὲ νεολαία†
δουπεῖ χεὶρ γυναικῶν.

— καὶ μὴν τόδε κύριον ἦμαρ
— †τί τόδ' αὐδᾶιϲ;†
— ὧι χρή ϲφε μολεῖν κατὰ γαίαϲ.
— ἔθιγεϲ ψυχᾶϲ, ἔθιγεϲ δὲ φρενῶν.
— χρὴ τῶν ἀγαθῶν διακναιομένων
πενθεῖν ὅϲτιϲ
χρηϲτὸϲ ἀπ' ἀρχῆϲ νενόμιϲται.

ἀλλ' οὐδὲ ναυκληρίαν [ϲτρ. β
ἔϲθ' ὅποι τιϲ αἴαϲ
ϲτείλαϲ, ἢ Λυκίαν

εἴτ᾽ ἐπὶ τὰϲ ἀνύδρουϲ
†Ἀμμωνιάδαϲ ἕδραϲ†,
δυϲτάνου παραλῦϲαι
ψυχάν· μόροϲ γὰρ ἀπότομοϲ
πλάθει. θεῶν δ᾽ ἐπ᾽ ἐϲχάραν
οὐκέτ᾽ ἔχω τίνα μηλοθύταν πορευθῶ.

μόνα δ᾽ ἄν, εἰ φῶϲ τόδ᾽ ἦν [ἀντ. β
ὄμμαϲιν δεδορκὼϲ
Φοίβου παῖϲ, προλιποῦϲ᾽
ἦλθ᾽ ἂν ἕδραϲ ϲκοτίουϲ
Ἅιδα τε πύλαϲ·
δμαθένταϲ γὰρ ἀνίϲτη,
πρὶν αὐτὸν εἷλε διόβολον
πλῆκτρον πυρὸϲ κεραυνίου.
νῦν δὲ βίου τίν᾽ ἔτ᾽ ἐλπίδα προϲδέχωμαι;

[πάντα γὰρ ἤδη †τετέλεϲται βαϲιλεῦϲιν†,
πάντων δὲ θεῶν ἐπὶ βωμοῖϲ
αἱμόρραντοι θυϲίαι πλήρειϲ,
οὐδ᾽ ἔϲτι κακῶν ἄκοϲ οὐδέν.]

— ἀλλ᾽ ἥδ᾽ ὀπαδῶν ἐκ δόμων τιϲ ἔρχεται
δακρυρροοῦϲα· τίνα τύχην ἀκούϲομαι;
πενθεῖν μέν, εἴ τι δεϲπόταιϲι τυγχάνει,
ϲυγγνωϲτόν· εἰ δ᾽ ἔτ᾽ ἐϲτὶν ἔμψυχοϲ γυνὴ
εἴτ᾽ οὖν ὄλωλεν εἰδέναι βουλοίμεθ᾽ ἄν. 140

ΘΕΡΑΠΑΙΝΑ
καὶ ζῶϲαν εἰπεῖν καὶ θανοῦϲαν ἔϲτι ϲοι.
Χο. καὶ πῶϲ ἂν αὑτὸϲ κατθάνοι τε καὶ βλέποι;
Θε. ἤδη προνωπήϲ ἐϲτι καὶ ψυχορραγεῖ. 143
Χο. ἐλπὶϲ μὲν οὐκέτ᾽ ἐϲτὶ ϲῴζεϲθαι βίον; 146
Θε. πεπρωμένη γὰρ ἡμέρα βιάζεται.
Χο. οὔκουν ἐπ᾽ αὐτῆι πράϲϲεται τὰ πρόϲφορα;
Θε. κόϲμοϲ γ᾽ ἕτοιμοϲ, ὧι ϲφε ϲυνθάψει πόϲιϲ. 149
Χο. ὦ τλῆμον, οἵαϲ οἷοϲ ὢν ἁμαρτάνειϲ. 144
Θε. οὔπω τόδ᾽ οἶδε δεϲπότηϲ, πρὶν ἂν πάθηι. 145
Χο. ἴϲτω νυν εὐκλεήϲ γε κατθανουμένη 150
γυνή τ᾽ ἀρίϲτη τῶν ὑφ᾽ ἡλίωι μακρῶι.
Θε. πῶϲ δ᾽ οὐκ ἀρίϲτη; τίϲ δ᾽ ἐναντιώϲεται;
τί χρὴ λέγεϲθαι τὴν ὑπερβεβλημένην
γυναῖκα; πῶϲ δ᾽ ἂν μᾶλλον ἐνδείξαιτό τιϲ
πόϲιν προτιμῶϲ᾽ ἢ θέλουϲ᾽ ὑπερθανεῖν; 155
καὶ ταῦτα μὲν δὴ πᾶϲ᾽ ἐπίϲταται πόλιϲ·
ἃ δ᾽ ἐν δόμοιϲ ἔδραϲε θαυμάϲηι κλύων.
ἐπεὶ γὰρ ᾔϲθεθ᾽ ἡμέραν τὴν κυρίαν

ἤκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
ἐλούσατ', ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων
ἐσθῆτα κόσμον τ' εὐπρεπῶς ἠσκήσατο,
καὶ στᾶσα πρόσθεν Ἑστίας κατηύξατο·
Δέσποιν', ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονός,
πανύστατόν σε προσπίτνουσ' αἰτήσομαι
τέκν' ὀρφανεῦσαι τἀμά· καὶ τῶι μὲν φίλην
σύζευξον ἄλοχον, τῆι δὲ γενναῖον πόσιν·
μηδ' ὥσπερ αὐτῶν ἡ τεκοῦσ' ἀπόλλυμαι
θανεῖν ἀώρους παῖδας, ἀλλ' εὐδαίμονας
ἐν γῆι πατρώιαι τερπνὸν ἐκπλῆσαι βίον.
πάντας δὲ βωμούς, οἳ κατ' Ἀδμήτου δόμους,
προσῆλθε κἀξέστεψε καὶ προσηύξατο,
πτόρθων ἀποσχίζουσα μυρσίνης φόβην,
ἄκλαυτος ἀστένακτος, οὐδὲ τοὐπιὸν
κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
κἄπειτα θάλαμον ἐσπεσοῦσα καὶ λέχος
ἐνταῦθα δὴ 'δάκρυσε καὶ λέγει τάδε·
Ὦ λέκτρον, ἔνθα παρθένει' ἔλυσ' ἐγὼ
κορεύματ' ἐκ τοῦδ' ἀνδρός, οὗ θνήισκω πάρος,
χαῖρ'· οὐ γὰρ ἐχθαίρω σ'· ἀπώλεσας δέ με
μόνον· προδοῦναι γάρ σ' ὀκνοῦσα καὶ πόσιν
θνήισκω. σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται,
σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
κυνεῖ δὲ προσπίτνουσα, πᾶν δὲ δέμνιον
ὀφθαλμοτέγκτωι δεύεται πλημμυρίδι.
ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/52 UNIVERSITÄT LEIPZIG

στείχει προνωπὴς ἐκπεσοῦσα δεμνίων,
καὶ πολλὰ θαλάμων ἐξιοῦς᾽ ἐπεστράφη
κἄρριψεν αὑτὴν αὖθις ἐς κοίτην πάλιν.
παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι
ἔκλαιον· ἡ δὲ λαμβάνους᾽ ἐς ἀγκάλας
ἠσπάζετ᾽ ἄλλοτ᾽ ἄλλον ὡς θανουμένη.
πάντες δ᾽ ἔκλαιον οἰκέται κατὰ στέγας
δέσποιναν οἰκτίροντες· ἡ δὲ δεξιὰν
προύτειν᾽ ἑκάστωι κοὔτις ἦν οὕτω κακὸς
ὃν οὐ προσεῖπε καὶ προσερρήθη πάλιν.
τοιαῦτ᾽ ἐν οἴκοις ἐστὶν Ἀδμήτου κακά.
καὶ κατθανών τἂν ὤιχετ᾽, ἐκφυγὼν δ᾽ ἔχει
τοσοῦτον ἄλγος, οὔποθ᾽ οὗ λελήσεται.

Χο. ἦ που στενάζει τοισίδ᾽ Ἄδμητος κακοῖς,
ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή;

Θε. κλαίει γ᾽ ἄκοιτιν ἐν χεροῖν φίλην ἔχων
καὶ μὴ προδοῦναι λίσσεται, τἀμήχανα
ζητῶν· φθίνει γὰρ καὶ μαραίνεται νόσωι.
παρειμένη δέ, χειρὸς ἄθλιον βάρος,
ὅμως δέ, καίπερ σμικρόν, ἐμπνέους᾽ ἔτι,
βλέψαι πρὸς αὐγὰς βούλεται τὰς ἡλίου
[ὡς οὔποτ᾽ αὖθις ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ᾽ ἡλίου προσόψεται].
ἀλλ᾽ εἶμι καὶ σὴν ἀγγελῶ παρουσίαν·
οὐ γάρ τι πάντες εὖ φρονοῦσι κοιράνοις,
ὥστ᾽ ἐν κακοῖσιν εὐμενεῖς παρεστάναι·
σὺ δ᾽ εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.

Χο.
—ἰὼ Ζεῦ, τίϲ ἂν πᾶι πόροϲ κακῶν [ϲτρ.
γένοιτο καὶ λύϲιϲ τύχαϲ
ἃ πάρεϲτι κοιράνοιϲ;
— ⟨αἰαῖ⟩·
†ἔξειϲί τιϲ† ἢ τέμω τρίχα
καὶ μέλανα ϲτολμὸν πέπλων
ἀμφιβαλώμεθ' ἤδη;
— δεινὰ μέν, φίλοι, δεινά γ', ἀλλ' ὅμωϲ
θεοῖϲιν εὐξόμεϲθα·
θεῶν γὰρ δύναμιϲ μεγίϲτα.
— ὦναξ Παιάν,
ἔξευρε μηχανάν τιν' Ἀδμήτωι κακῶν.
— πόριζε δὴ πόριζε· καὶ πάροϲ γὰρ
†τοῦδ' ἐφεῦρεϲ† καὶ νῦν
λυτήριοϲ ἐκ θανάτου γενοῦ,
φόνιον δ' ἀπόπαυϲον Ἅιδαν.

— παπαῖ ⟨ ⟩ [ἀντ.
ὦ παῖ Φέρητοϲ, οἷ' ἔπρα-
ξαϲ δάμαρτοϲ ϲᾶϲ ϲτερείϲ.
— αἰαῖ·
ἄξια καὶ ϲφαγᾶϲ τάδε

καὶ πλέον ἢ βρόχωι δέραν
οὐρανίωι πελάϲϲαι.
— τὰν γὰρ οὐ φίλαν ἀλλὰ φιλτάταν
γυναῖκα κατθανοῦϲαν
ἐν ἄματι τῶιδ' ἐπόψηι.
— ἰδοὺ ἰδού·
ἥδ' ἐκ δόμων δὴ καὶ πόϲιϲ πορεύεται.
— βόαϲον ὦ ϲτέναξον ὦ Φεραία
χθὼν τὰν ἀρίϲταν
γυναῖκα μαραινομέναν νόϲωι
κατὰ γᾶϲ χθόνιον παρ' Ἅιδαν.

οὔποτε φήϲω γάμον εὐφραίνειν
πλέον ἢ λυπεῖν, τοῖϲ τε πάροιθεν
τεκμαιρόμενοϲ καὶ τάϲδε τύχαϲ
λεύϲϲων βαϲιλέωϲ, ὅϲτιϲ ἀρίϲτηϲ
ἀπλακὼν ἀλόχου τῆϲδ' ἀβίωτον
τὸν ἔπειτα χρόνον βιοτεύϲει.

ΑΛΚΗϹΤΙϹ

Ἅλιε καὶ φάοϲ ἁμέραϲ [ϲτρ. α
οὐράνιαί τε δῖ-
ναι νεφέλαϲ δρομαίου.

ΑΔΜΗΤΟϹ

ὁρᾶι ϲε κἀμέ, δύο κακῶϲ πεπραγόταϲ,
οὐδὲν θεοὺϲ δράϲανταϲ ἀνθ' ὅτου θανῆι.

Αλ. γαῖά τε καὶ μελάθρων στέγαι [ἀντ. α
νυμφίδιοί τε κοῖ-
ται πατρίας Ἰωλκοῦ.
Αδ. ἔπαιρε cαυτήν, ὦ τάλαινα, μὴ προδῶις·
λίccου δὲ τοὺc κρατοῦνταc οἰκτῖραι θεούc.

Αλ. ὁρῶ δίκωπον ὁρῶ cκάφοc ἐν [cτρ. β
λίμναι· νεκύων δὲ πορθμεὺc
ἔχων χέρ᾽ ἐπὶ κοντῶι Χάρων
μ᾽ ἤδη καλεῖ· Τί μέλλειc;
ἐπείγου· cὺ κατείργειc. τάδε τοί με
cπερχόμενοc ταχύνει.
Αδ. οἴμοι· πικράν γε τήνδε μοι ναυκληρίαν
ἔλεξαc. ὦ δύcδαιμον, οἷα πάcχομεν.

Αλ. ἄγει μ᾽ ἄγει τιc, ἄγει μέ τιc (οὐχ [ἀντ. β
ὁρᾶιc;) νεκύων ἐc αὐλάν,
ὑπ᾽ ὀφρύcι κυαναυγέcι
βλέπων πτερωτὸc Ἅιδαc.
τί ῥέξειc; ἄφεc. οἵαν ὁδὸν ἁ δει-
λαιοτάτα προβαίνω.
Αδ. οἰκτρὰν φίλοιcιν, ἐκ δὲ τῶν μάλιcτ᾽ ἐμοὶ
καὶ παιcίν, οἷc δὴ πένθοc ἐν κοινῶι τόδε.

Αλ. μέθετε μέθετέ μ᾽ ἤδη· [ἐπωιδ.
κλίνατ᾽, οὐ cθένω ποcίν.
πληcίον Ἅιδαc, cκοτία

δ' ἐπ' ὄϲϲοιϲι νὺξ ἐφέρπει.
τέκνα τέκν', οὐκέτι δὴ
οὐκέτι μάτηρ ϲφῷν ἔϲτιν.
χαίροντεϲ, ὦ τέκνα, τόδε φάοϲ ὁρῷτον.

Αδ. οἴμοι· τόδ' ἔποϲ λυπρὸν ἀκούειν
καὶ παντὸϲ ἐμοὶ θανάτου μεῖζον.
μὴ πρόϲ ⟨ϲε⟩ θεῶν τλῇϲ με προδοῦναι,
μὴ πρὸϲ παίδων οὓϲ ὀρφανιεῖϲ,
ἀλλ' ἄνα, τόλμα.
ϲοῦ γὰρ φθιμένηϲ οὐκέτ' ἂν εἴην,
ἐν ϲοὶ δ' ἐϲμὲν καὶ ζῆν καὶ μή·
ϲὴν γὰρ φιλίαν ϲεβόμεϲθα.

Αλ. Ἄδμηθ', ὁρᾷϲ γὰρ τἀμὰ πράγμαθ' ὡϲ ἔχει,
λέξαι θέλω ϲοι πρὶν θανεῖν ἃ βούλομαι.
ἐγώ ϲε πρεϲβεύουϲα κἀντὶ τῆϲ ἐμῆϲ
ψυχῆϲ καταϲτήϲαϲα φῶϲ τόδ' εἰϲορᾶν
θνῄϲκω, παρόν μοι μὴ θανεῖν, ὑπὲρ ϲέθεν,
ἀλλ' ἄνδρα τε ϲχεῖν Θεϲϲαλῶν ὃν ἤθελον
καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι.
οὐκ ἠθέληϲα ζῆν ἀποϲπαϲθεῖϲα ϲοῦ
ϲὺν παιϲὶν ὀρφανοῖϲιν, οὐδ' ἐφειϲάμην
ἥβηϲ, ἔχουϲ' ἐν οἷϲ ἐτερπόμην ἐγώ.
καίτοι ϲ' ὁ φύϲαϲ χἠ τεκοῦϲα προύδοϲαν,
καλῶϲ μὲν αὐτοῖϲ κατθανεῖν ἧκον βίου,
καλῶϲ δὲ ϲῶϲαι παῖδα κεὐκλεῶϲ θανεῖν.
μόνοϲ γὰρ αὐτοῖϲ ἦϲθα, κοὔτιϲ ἐλπὶϲ ἦν

σοῦ κατθανόντος ἄλλα φιτύσειν τέκνα.
κἀγώ τ' ἂν ἔζων καὶ σὺ τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες
καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν
θεῶν τις ἐξέπραξεν ὥσθ' οὕτως ἔχειν.
εἶέν· σύ νύν μοι τῶνδ' ἀπόμνησαι χάριν·
αἰτήσομαι γάρ σ' ἀξίαν μὲν οὔποτε
(ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον),
δίκαια δ', ὡς φήσεις σύ· τούσδε γὰρ φιλεῖς
οὐχ ἧσσον ἢ 'γὼ παῖδας, εἴπερ εὖ φρονεῖς.
τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων
καὶ μὴ 'πιγήμῃς τοῖσδε μητρυιὰν τέκνοις,
ἥτις κακίων οὖσ' ἐμοῦ γυνὴ φθόνωι
τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προσβαλεῖ.
μὴ δῆτα δράσῃς ταῦτά γ', αἰτοῦμαί σ' ἐγώ·
ἐχθρὰ γὰρ ἡ 'πιοῦσα μητρυιὰ τέκνοις
τοῖς πρόσθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.
καὶ παῖς μὲν ἄρσην πατέρ' ἔχει πύργον μέγαν
[ὃν καὶ προσεῖπε καὶ προσερρήθη πάλιν]·
σὺ δ', ὦ τέκνον μοι, πῶς κορευθήσηι καλῶς;
ποίας τυχοῦσα συζύγου τῶι σῶι πατρί;
μή σοί τιν' αἰσχρὰν προσβαλοῦσα κληδόνα
ἥβης ἐν ἀκμῆι σοὺς διαφθείρῃ γάμους.
οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ
οὔτ' ἐν τόκοισι σοῖσι θαρσυνεῖ, τέκνον,
παροῦσ', ἵν' οὐδὲν μητρὸς εὐμενέστερον.
δεῖ γὰρ θανεῖν με· καὶ τόδ' οὐκ ἐς αὔριον
οὐδ' ἐς τρίτην μοι †μηνὸς† ἔρχεται κακόν,

ἀλλ᾽ αὐτίκ᾽ ἐν τοῖϲ οὐκέτ᾽ οὖϲι λέξομαι.
χαίροντεϲ εὐφραίνοιϲθε· καὶ ϲοὶ μέν, πόϲι,
γυναῖκ᾽ ἀρίϲτην ἔϲτι κομπάϲαι λαβεῖν,
ὑμῖν δέ, παῖδεϲ, μητρὸϲ ἐκπεφυκέναι.
Χο. θάρϲει· πρὸ τούτου γὰρ λέγειν οὐχ ἅζομαι·
δράϲει τάδ᾽, εἴπερ μὴ φρενῶν ἁμαρτάνει.
Αδ. ἔϲται τάδ᾽, ἔϲται, μὴ τρέϲηιϲ· ἐπεί ϲ᾽ ἐγὼ
καὶ ζῶϲαν εἶχον καὶ θανοῦϲ᾽ ἐμὴ γυνὴ
μόνη κεκλήϲηι, κοὔτιϲ ἀντὶ ϲοῦ ποτε
τόνδ᾽ ἄνδρα νύμφη Θεϲϲαλὶϲ προϲφθέγξεται.
οὐκ ἔϲτιν οὕτωϲ οὔτε πατρὸϲ εὐγενοῦϲ
οὔτ᾽ εἶδοϲ ἄλλωϲ ἐκπρεπεϲτάτη γυνή.
ἅλιϲ δὲ παίδων· τῶνδ᾽ ὄνηϲιν εὔχομαι
θεοῖϲ γενέϲθαι· ϲοῦ γὰρ οὐκ ὠνήμεθα.
οἴϲω δὲ πένθοϲ οὐκ ἐτήϲιον τὸ ϲὸν
ἀλλ᾽ ἔϲτ᾽ ἂν αἰὼν οὑμὸϲ ἀντέχηι, γύναι,
ϲτυγῶν μὲν ἥ μ᾽ ἔτικτεν, ἐχθαίρων δ᾽ ἐμὸν
πατέρα· λόγωι γὰρ ἦϲαν οὐκ ἔργωι φίλοι.
ϲὺ δ᾽ ἀντιδοῦϲα τῆϲ ἐμῆϲ τὰ φίλτατα
ψυχῆϲ ἔϲωϲαϲ. ἆρά μοι ϲτένειν πάρα
τοιᾶϲδ᾽ ἁμαρτάνοντι ϲυζύγου ϲέθεν;
παύϲω δὲ κώμουϲ ϲυμποτῶν θ᾽ ὁμιλίαϲ
ϲτεφάνουϲ τε μοῦϲάν θ᾽ ἣ κατεῖχ᾽ ἐμοὺϲ δόμουϲ.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν βαρβίτου θίγοιμ᾽ ἔτι
οὔτ᾽ ἂν φρέν᾽ ἐξάραιμι πρὸϲ Λίβυν λακεῖν
αὐλόν· ϲὺ γάρ μου τέρψιν ἐξείλου βίου.
ϲοφῆι δὲ χειρὶ τεκτόνων δέμαϲ τὸ ϲὸν
εἰκαϲθὲν ἐν λέκτροιϲιν ἐκταθήϲεται,
ὧι προϲπεϲοῦμαι καὶ περιπτύϲϲων χέραϲ

ὄνομα καλῶν cὸν τὴν φίλην ἐν ἀγκάλαις
δόξω γυναῖκα καίπερ οὐκ ἔχων ἔχειν·
ψυχρὰν μέν, οἶμαι, τέρψιν, ἀλλ' ὅμωc βάροc
ψυχῆc ἀπαντλοίην ἄν. ἐν δ' ὀνείραcιν
φοιτῶcά μ' εὐφραίνοιc ἄν· ἡδὺ γὰρ φίλουc
κἀν νυκτὶ λεύccειν, ὅντιν' ἂν παρῆι χρόνον.
εἰ δ' Ὀρφέωc μοι γλῶccα καὶ μέλοc παρῆν,
ὥcτ' ἢ κόρην Δήμητροc ἢ κείνηc πόcιν
ὕμνοιcι κηλήcαντά c' ἐξ Ἅιδου λαβεῖν,
κατῆλθον ἄν, καί μ' οὔθ' ὁ Πλούτωνοc κύων
οὔθ' οὑπὶ κώπηι ψυχοπομπὸc ἂν Χάρων
ἔcχ' ἄν, πρὶν ἐc φῶc cὸν καταcτῆcαι βίον.
ἀλλ' οὖν ἐκεῖcε προcδόκα μ', ὅταν θάνω,
καὶ δῶμ' ἑτοίμαζ', ὡc cυνοικήcουcά μοι.
ἐν ταῖcιν αὐταῖc γάρ μ' ἐπιcκήψω κέδροιc
cοὶ τούcδε θεῖναι πλευρά τ' ἐκτεῖναι πέλαc
πλευροῖcι τοῖc cοῖc· μηδὲ γὰρ θανών ποτε
cοῦ χωρὶc εἴην τῆc μόνηc πιcτῆc ἐμοί.
Χο. καὶ μὴν ἐγώ cοι πένθοc ὡc φίλοc φίλωι
λυπρὸν cυνοίcω τῆcδε· καὶ γὰρ ἀξία.
Αλ. ὦ παῖδεc, αὐτοὶ δὴ τάδ' εἰcηκούcατε
πατρὸc λέγοντοc μὴ γαμεῖν ἄλλην ποτὲ
γυναῖκ' ἐφ' ὑμῖν μηδ' ἀτιμάcειν ἐμέ.
Αδ. καὶ νῦν γέ φημι καὶ τελευτήcω τάδε.
Αλ. ἐπὶ τοῖcδε παῖδαc χειρὸc ἐξ ἐμῆc δέχου.
Αδ. δέχομαι, φίλον γε δῶρον ἐκ φίληc χερόc.
Αλ. cύ νυν γενοῦ τοῖcδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοιc.
Αδ. πολλή μ' ἀνάγκη, cοῦ γ' ἀπεcτερημένοιc.
Αλ. ὦ τέκν', ὅτε ζῆν χρῆν μ', ἀπέρχομαι κάτω.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/60 UNIVERSITÄT LEIPZIG

Αδ. οἴμοι, τί δράcω δῆτα coῦ μονούμενοc;
Αλ. χρόνοc μαλάξει c'· οὐδέν ἐcθ' ὁ κατθανών.
Αδ. ἄγου με cὺν coί, πρὸc θεῶν, ἄγου κάτω.
Αλ. ἀρκοῦμεν ἡμεῖc οἱ προθνήιcκοντεc cέθεν.
Αδ. ὦ δαῖμον, οἵαc cυζύγου μ' ἀποcτερεῖc.
Αλ. καὶ μὴν cκοτεινὸν ὄμμα μου βαρύνεται.
Αδ. ἀπωλόμην ἄρ', εἴ με δὴ λείψειc, γύναι.
Αλ. ὡc οὐκέτ' οὖcαν οὐδὲν ἂν λέγοιc ἐμέ.
Αδ. ὄρθου πρόcωπον, μὴ λίπηιc παῖδαc cέθεν.
Αλ. οὐ δῆθ' ἑκοῦcά γ'· ἀλλὰ χαίρετ', ὦ τέκνα.
Αδ. βλέψον πρὸc αὐτούc, βλέψον. Αλ. οὐδέν εἰμ' ἔτι.
Αδ. τί δρᾶιc; προλείπειc; Αλ. χαῖρ'. Αδ. ἀπωλόμην
τάλαc.
Χο. βέβηκεν, οὐκέτ' ἔcτιν Ἀδμήτου γυνή.

ΠΑΙC

ἰώ μοι τύχαc. μαῖα δὴ κάτω [cτρ.
βέβακεν, οὐκέτ' ἔcτιν, ὦ
πάτερ, ὑφ' ἁλίωι,
προλιποῦcα δ' ἐμὸν βίον ὠρφάνιcεν τλάμων.
†ἴδε γὰρ ἴδε βλέφαρον καὶ†
παρατόνουc χέραc.
ὑπάκουcον ἄκουcον, ὦ μᾶτερ, ἀντιάζω.
ἐγώ c' ἐγώ, μᾶτερ,
†καλοῦμαι ὁ cὸc ποτὶ coῖcι πίτ-
νων† cτόμαcιν νεοccόc.

Αδ. τὴν οὐ κλύουϲαν οὐδ' ὁρῶϲαν· ὥϲτ' ἐγὼ
καὶ ϲφὼ βαρείαι ϲυμφορᾶι πεπλήγμεθα.

Πα. νέοϲ ἐγώ, πάτερ, λείπομαι φίλαϲ [ἀντ.
μονόϲτολόϲ τε ματρόϲ· ὦ
ϲχέτλια δὴ παθὼν
ἐγὼ ἔργ', ἃ ϲὺ ϲύγκαϲί μοι ϲυνέτλαϲ κούρα.
⟨
⟩ ὦ πάτερ,
ἀνόνατ' ἀνόνατ' ἐνύμφευϲαϲ οὐδὲ γήρωϲ
ἔβαϲ τέλοϲ ϲὺν τᾶιδ'·
ἔφθιτο γὰρ πάροϲ· οἰχομέναϲ δὲ ϲοῦ,
μᾶτερ, ὄλωλεν οἶκοϲ.

Χο. Ἄδμητ', ἀνάγκη τάϲδε ϲυμφορὰϲ φέρειν·
οὐ γάρ τι πρῶτοϲ οὐδὲ λοίϲθιοϲ βροτῶν
γυναικὸϲ ἐϲθλῆϲ ἤμπλακεϲ· γίγνωϲκε δὲ
ὡϲ πᾶϲιν ἡμῖν κατθανεῖν ὀφείλεται.
Αδ. ἐπίϲταμαί τοι, κοὐκ ἄφνω κακὸν τόδε
προϲέπτατ'· εἰδὼϲ δ' αὔτ' ἐτειρόμην πάλαι.
ἀλλ', ἐκφορὰν γὰρ τοῦδε θήϲομαι νεκροῦ,
πάρεϲτε καὶ μένοντεϲ ἀντηχήϲατε
παιᾶνα τῶι κάτωθεν ἄϲπονδον θεῶι.
πᾶϲιν δὲ Θεϲϲαλοῖϲιν ὧν ἐγὼ κρατῶ
πένθουϲ γυναικὸϲ τῆϲδε κοινοῦϲθαι λέγω
κουρᾶι ξυρήκει καὶ μελαμπέπλωι ϲτολῆι·
τέθριππά θ' οἳ ζεύγνυϲθε καὶ μονάμπυκαϲ
πώλουϲ, ϲιδήρωι τέμνετ' αὐχένων φόβην.

αὐλῶν δὲ μὴ κατ᾽ ἄϲτυ, μὴ λύραϲ κτύποϲ
ἔϲτω ϲελήναϲ δώδεκ᾽ ἐκπληρουμέναϲ.
οὐ γάρ τιν᾽ ἄλλον φίλτερον θάψω νεκρὸν
τοῦδ᾽ οὐδ᾽ ἀμείνον᾽ εἰϲ ἔμ᾽· ἀξία δέ μοι
τιμῆϲ, ἐπεὶ τέθνηκεν ἀντ᾽ ἐμοῦ μόνη.

Χο. ὦ Πελίου θύγατερ, [ϲτρ. α
χαίρουϲά μοι εἰν ᾽Αίδα δόμοιϲιν
τὸν ἀνάλιον οἶκον οἰκετεύοιϲ.
ἴϲτω δ᾽ ᾽Αίδαϲ ὁ μελαγχαί-
ταϲ θεὸϲ ὅϲ τ᾽ ἐπὶ κώπαι
πηδαλίωι τε γέρων
νεκροπομπὸϲ ἵζει
πολὺ δὴ πολὺ δὴ γυναῖκ᾽ ἀρίϲταν
λίμναν ᾽Αχεροντίαν πορεύ-
ϲαϲ ἐλάται δικώπωι.

πολλά ϲε μουϲοπόλοι [ἀντ. α
μέλψουϲι καθ᾽ ἑπτάτονόν τ᾽ ὀρείαν
χέλυν ἔν τ᾽ ἀλύροιϲ κλέοντεϲ ὕμνοιϲ,
Ϲπάρται κυκλὰϲ ἁνίκα Καρνεί-
ου περινίϲεται ὥρα
μηνόϲ, ἀειρομέναϲ
παννύχου ϲελάναϲ,
λιπαραῖϲί τ᾽ ἐν ὀλβίαιϲ ᾽Αθάναιϲ.

τοίαν ἔλιπεϲ θανοῦϲα μολ-
    πὰν μελέων ἀοιδοῖϲ.

εἴθ' ἐπ' ἐμοὶ μὲν εἴη, [ϲτρ. β
δυναίμαν δέ ϲε πέμψαι
φάοϲ ἐξ Ἀίδα τεράμνων
καὶ Κωκυτοῖο ῥεέθρων
ποταμίαι νερτέραι τε κώπαι.
ϲὺ γάρ, ὦ μόνα ὦ φίλα γυναικῶν,
ϲὺ τὸν αὑτᾶϲ
ἔτλαϲ ⟨ἔτλαϲ⟩ πόϲιν ἀντὶ ϲᾶϲ ἀμεῖψαι
ψυχᾶϲ ἐξ Ἅιδα. κούφα ϲοι
χθὼν ἐπάνωθε πέϲοι, γύναι. εἰ δέ τι
καινὸν ἕλοιτο πόϲιϲ λέχοϲ, ἦ μάλ' ἂν
ἔμοιγ' ἂν εἴη ϲτυγη-
    θεὶϲ τέκνοιϲ τε τοῖϲ ϲοῖϲ.

ματέροϲ οὐ θελούϲαϲ [ἀντ. β
πρὸ παιδὸϲ χθονὶ κρύψαι
δέμαϲ οὐδὲ πατρὸϲ γεραιοῦ
⟨ ⟩
ὃν ἔτεκον δ', οὐκ ἔτλαν ῥύεϲθαι,
ϲχετλίω, πολιὰν ἔχοντε χαίταν.
ϲὺ δ' ἐν ἥβαι
νέαι νέου προθανοῦϲα φωτὸϲ οἴχηι.
τοιαύταϲ εἴη μοι κῦρϲαι

συνδυάδοϲ φιλίαϲ ἀλόχου· τὸ γὰρ
ἐν βιότωι ϲπάνιον μέροϲ· ἦ γὰρ ἂν
ἔμοιγ' ἄλυποϲ δι' αἰ-
ῶνοϲ ἂν ξυνείη.

ΗΡΑΚΛΗϹ

ξένοι, Φεραίαϲ τῆϲδε κωμῆται χθονόϲ,
Ἄδμητον ἐν δόμοιϲιν ἆρα κιγχάνω;
Χο. ἔϲτ' ἐν δόμοιϲι παῖϲ Φέρητοϲ, Ἡράκλειϲ.
ἀλλ' εἰπὲ χρεία τίϲ ϲε Θεϲϲαλῶν χθόνα
πέμπει, Φεραῖον ἄϲτυ προϲβῆναι τόδε.
Ηρ. Τιρυνθίωι πράϲϲω τιν' Εὐρυϲθεῖ πόνον.
Χο. καὶ ποῖ πορεύηι; τῶι ϲυνέζευξαι πλάνωι;
Ηρ. Θρηικὸϲ τέτρωρον ἅρμα Διομήδουϲ μέτα.
Χο. πῶϲ οὖν δυνήϲηι; μῶν ἄπειροϲ εἶ ξένου;
Ηρ. ἄπειροϲ· οὔπω Βιϲτόνων ἦλθον χθόνα.
Χο. οὐκ ἔϲτιν ἵππων δεϲπόϲαι ϲ' ἄνευ μάχηϲ.
Ηρ. ἀλλ' οὐδ' ἀπειπεῖν μὴν πόνουϲ οἷόν τ' ἐμοί.
Χο. κτανὼν ἄρ' ἥξειϲ ἢ θανὼν αὐτοῦ μενεῖϲ.
Ηρ. οὐ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.
Χο. τί δ' ἂν κρατήϲαϲ δεϲπότην πλέον λάβοιϲ;
Ηρ. πώλουϲ ἀπάξω κοιράνωι Τιρυνθίωι.
Χο. οὐκ εὐμαρὲϲ χαλινὸν ἐμβαλεῖν γνάθοιϲ.
Ηρ. εἰ μή γε πῦρ πνέουϲι μυκτήρων ἄπο.
Χο. ἀλλ' ἄνδραϲ ἀρταμοῦϲι λαιψηραῖϲ γνάθοιϲ.
Ηρ. θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων, λέγειϲ.
Χο. φάτναϲ ἴδοιϲ ἂν αἵμαϲιν πεφυρμέναϲ.
Ηρ. τίνοϲ δ' ὁ θρέψαϲ παῖϲ πατρὸϲ κομπάζεται;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/65 UNIVERSITÄT LEIPZIG

Χο. Ἄρεος, ζαχρύσου Θρῃκίας πέλτης ἄναξ.
Ηρ. καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις
(σκληρὸς γὰρ αἰεὶ καὶ πρὸς αἶπος ἔρχεται),
εἰ χρή με παισὶν οἷς Ἄρης ἐγείνατο
μάχην συνάψαι, πρῶτα μὲν Λυκάονι,
αὖθις δὲ Κύκνωι, τόνδε δ' ἔρχομαι τρίτον
ἀγῶνα πώλοις δεσπότηι τε συμβαλῶν.
ἀλλ' οὔτις ἔστιν ὃς τὸν Ἀλκμήνης γόνον
τρέσαντα χεῖρα πολεμίαν ποτ' ὄψεται.
Χο. καὶ μὴν ὅδ' αὐτὸς τῆσδε κοίρανος χθονὸς
Ἄδμητος ἔξω δωμάτων πορεύεται.
Αδ. χαῖρ', ὦ Διὸς παῖ Περσέως τ' ἀφ' αἵματος.
Ηρ. Ἄδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.
Αδ. θέλοιμ' ἄν· εὔνουν δ' ὄντα σ' ἐξεπίσταμαι.
Ηρ. τί χρῆμα κουρᾶι τῆιδε πενθίμωι πρέπεις;
Αδ. θάπτειν τιν' ἐν τῆιδ' ἡμέραι μέλλω νεκρόν.
Ηρ. ἀπ' οὖν τέκνων σῶν πημονὴν εἴργοι θεός.
Αδ. ζῶσιν κατ' οἴκους παῖδες οὓς ἔφυσ' ἐγώ.
Ηρ. πατήρ γε μὴν ὡραῖος, εἴπερ οἴχεται.
Αδ. κἀκεῖνος ἔστι χἠ τεκοῦσά μ', Ἡράκλεις.
Ηρ. οὐ μὴν γυνή γ' ὄλωλεν Ἄλκηστις σέθεν;
Αδ. διπλοῦς ἐπ' αὐτῆι μῦθος ἔστι μοι λέγειν.
Ηρ. πότερα θανούσης εἶπας ἢ ζώσης ἔτι;
Αδ. ἔστιν τε κοὐκέτ' ἔστιν, ἀλγύνει δέ με.
Ηρ. οὐδέν τι μᾶλλον οἶδ'· ἄσημα γὰρ λέγεις.
Αδ. οὐκ οἶσθα μοίρας ἧς τυχεῖν αὐτὴν χρεών;
Ηρ. οἶδ', ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην.
Αδ. πῶς οὖν ἔτ' ἔστιν, εἴπερ ἤινεσεν τάδε;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/66 UNIVERSITÄT LEIPZIG

*Ηρ.* ἆ, μὴ πρόκλαι' ἄκοιτιν, ἐς τότ' ἀμβαλοῦ.
*Αδ.* τέθνηχ' ὁ μέλλων κἀνθάδ' ὢν οὐκ ἔστ' ἔτι.
*Ηρ.* χωρὶς τό τ' εἶναι καὶ τὸ μὴ νομίζεται.
*Αδ.* cὺ τῇιδε κρίνειc, Ἡράκλειc, κείνηι δ' ἐγώ.
*Ηρ.* τί δῆτα κλαίειc; τίc φίλων ὁ κατθανών;
*Αδ.* γυνή· γυναικὸc ἀρτίωc μεμνήμεθα.
*Ηρ.* ὀθνεῖοc ἢ coὶ cυγγενὴc γεγῶcά τιc;
*Αδ.* ὀθνεῖοc, ἄλλωc δ' ἦν ἀναγκαία δόμοιc.
*Ηρ.* πῶc οὖν ἐν οἴκοιc coῖcιν ὤλεcεν βίον;
*Αδ.* πατρὸc θανόντοc ἐνθάδ' ὠρφανεύετο.
*Ηρ.* φεῦ.
εἴθ' ηὕρομέν c', Ἄδμητε, μὴ λυπούμενον.
*Αδ.* ὡc δὴ τί δράcων τόνδ' ὑπορράπτειc λόγον;
*Ηρ.* ξένων πρὸc ἄλλων ἑcτίαν πορεύcομαι.
*Αδ.* οὐκ ἔcτιν, ὦναξ· μὴ τοcόνδ' ἔλθοι κακόν.
*Ηρ.* λυπουμένοιc ὀχληρόc, εἰ μόλοι, ξένοc.
*Αδ.* τεθνᾶcιν οἱ θανόντεc· ἀλλ' ἴθ' ἐc δόμουc.
*Ηρ.* αἰcχρὸν ⟨γε⟩ παρὰ κλαίουcι θοινᾶcθαι ξένουc.
*Αδ.* χωρὶc ξενῶνέc εἰcιν οἷ c' ἐcάξομεν.
*Ηρ.* μέθεc με καί coι μυρίαν ἕξω χάριν.
*Αδ.* οὐκ ἔcτιν ἄλλου c' ἀνδρὸc ἑcτίαν μολεῖν.
ἡγοῦ cὺ τῶιδε δωμάτων ἐξωπίουc
ξενῶναc οἴξαc τοῖc τ' ἐφεcτῶcιν φράcον



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/67 UNIVERSITÄT LEIPZIG

σίτων παρεῖναι πλῆθος, εὖ δὲ κλῄσατε
θύρας μεταύλους· οὐ πρέπει θοινωμένους
κλύειν στεναγμῶν οὐδὲ λυπεῖσθαι ξένους.

Χο. τί δρᾶις; τοσαύτης συμφορᾶς προσκειμένης,
Ἄδμητε, τολμᾶις ξενοδοκεῖν; τί μῶρος εἶ;

Αδ. ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπήινεσας;
οὐ δῆτ', ἐπεί μοι συμφορὰ μὲν οὐδὲν ἂν
μείων ἐγίγνετ', ἀξενώτερος δ' ἐγώ.
καὶ πρὸς κακοῖσιν ἄλλο τοῦτ' ἂν ἦν κακόν,
δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
ὅταν ποτ' Ἄργους διψίαν ἔλθω χθόνα.

Χο. πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
φίλου μολόντος ἀνδρὸς ὡς αὐτὸς λέγεις;

Αδ. οὐκ ἄν ποτ' ἠθέλησεν εἰσελθεῖν δόμους,
εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισεν.
καὶ τῶι μέν, οἶμαι, δρῶν τάδ' οὐ φρονεῖν δοκῶ
οὐδ' αἰνέσει με· τἀμὰ δ' οὐκ ἐπίσταται
μέλαθρ' ἀπωθεῖν οὐδ' ἀτιμάζειν ξένους.

Χο. ὦ πολύξεινος καὶ ἐλευθέρου ἀνδρὸς ἀεί ποτ'
οἶκος, [στρ. α
σέ τοι καὶ ὁ Πύθιος εὐλύρας Ἀπόλλων
ἠξίωσε ναίειν,
ἔτλα δὲ σοῖσι μηλονόμας
ἐν νομοῖς γενέσθαι,
δοχμιᾶν διὰ κλειτύων

βοϲκήμαϲι ϲοῖϲι ϲυρίζων
ποιμνίταϲ ὑμεναίουϲ.

ϲὺν δ' ἐποιμαίνοντο χαρᾶι μελέων βαλιαί τε
   λύγκεϲ, [ἀντ. α
ἔβα δὲ λιποῦϲ' Ὄθρυοϲ νάπαν λεόντων
ἁ δαφοινὸϲ ἴλα·
χόρευϲε δ' ἀμφὶ ϲὰν κιθάραν,
Φοῖβε, ποικιλόθριξ
νεβρὸϲ ὑψικόμων πέραν
βαίνουϲ' ἐλατᾶν ϲφυρῶι κούφωι,
χαίρουϲ' εὔφρονι μολπᾶι.

τοιγὰρ πολυμηλοτάταν [ϲτρ. β
ἑϲτίαν οἰκεῖ παρὰ καλλίναον
Βοιβίαν λίμναν. ἀρότοιϲ δὲ γυᾶν
καὶ πεδίων δαπέδοιϲ ὅρον ἀμφὶ μὲν
ἀελίου κνεφαίαν
ἱππόϲταϲιν †αἰθέρα τὰν† Μολοϲ-
   ϲῶν ⟨ ⟩ τίθεται,
πόντιον δ' Αἰγαῖον ἐπ' ἀκτὰν
ἀλίμενον Πηλίου κρατύνει.

καὶ νῦν δόμον ἀμπετάϲαϲ [ἀντ. β
δέξατο ξεῖνον νοτερῶι βλεφάρωι,
τᾶϲ φίλαϲ κλαίων ἀλόχου νέκυν ἐν
δώμαϲιν ἀρτιθανῆ· τὸ γὰρ εὐγενὲϲ
ἐκφέρεται πρὸϲ αἰδῶ.

ἐν τοῖς ἀγαθοῖσι δὲ πάντ᾽ ἔνε-
στιν· σοφίας ἄγαμαι.
πρὸς δ᾽ ἐμᾶι ψυχᾶι θράσος ἧσται
θεοσεβῆ φῶτα κεδνὰ πράξειν.

*Αδ.* ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,
νέκυν μὲν ἤδη πάντ᾽ ἔχοντα πρόσπολοι
φέρουσιν ἄρδην πρὸς τάφον τε καὶ πυράν·
ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,
προσείπατ᾽ ἐξιοῦσαν ὑστάτην ὁδόν.
*Χο.* καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῶι ποδὶ
στείχοντ᾽, ὀπαδούς τ᾽ ἐν χεροῖν δάμαρτι σῆι
κόσμον φέροντας, νερτέρων ἀγάλματα.

*ΦΕΡΗΣ*

ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·
ἐσθλῆς γάρ, οὐδεὶς ἀντερεῖ, καὶ σώφρονος
γυναικὸς ἡμάρτηκας. ἀλλὰ ταῦτα μὲν
φέρειν ἀνάγκη καίπερ ὄντα δύσφορα.
δέχου δὲ κόσμον τόνδε καὶ κατὰ χθονὸς
ἴτω. τὸ ταύτης σῶμα τιμᾶσθαι χρεών,
ἥτις γε τῆς σῆς προύθανε ψυχῆς, τέκνον,
καί μ᾽ οὐκ ἄπαιδ᾽ ἔθηκεν οὐδ᾽ εἴασε σοῦ
στερέντα γήραι πενθίμωι καταφθίνειν,
πάσαις δ᾽ ἔθηκεν εὐκλεέστερον βίον
γυναιξίν, ἔργον τλᾶσα γενναῖον τόδε.
ὦ τόνδε μὲν σώσασ᾽, ἀναστήσασα δὲ
ἡμᾶς πίτνοντας, χαῖρε, κἀν Ἅιδου δόμοις
εὖ σοι γένοιτο. φημὶ τοιούτους γάμους

λύειν βροτοῖϲιν, ἢ γαμεῖν οὐκ ἄξιον.
Αδ. οὔτ' ἦλθες ἐς τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον
οὔτ' ἐν φίλοιϲι ϲὴν παρουϲίαν λέγω.
κόϲμον δὲ τὸν ϲὸν οὔποθ' ἥδ' ἐνδύϲεται·
οὐ γάρ τι τῶν ϲῶν ἐνδεὴϲ ταφήϲεται.
τότε ξυναλγεῖν χρῆν ϲ' ὅτ' ὠλλύμην ἐγώ·
ϲὺ δ' ἐκποδὼν ϲτὰϲ καὶ παρεὶϲ ἄλλωι θανεῖν
νέωι γέρων ὢν τόνδ' ἀποιμώξηι νεκρόν;
οὐκ ἦϲθ' ἄρ' ὀρθῶϲ τοῦδε ϲώματοϲ πατήρ,
οὐδ' ἡ τεκεῖν φάϲκουϲα καὶ κεκλημένη
μήτηρ μ' ἔτικτε, δουλίου δ' ἀφ' αἵματοϲ
μαϲτῶι γυναικὸϲ ϲῆϲ ὑπεβλήθην λάθραι.
ἔδειξαϲ εἰϲ ἔλεγχον ἐξελθὼν ὃϲ εἶ,
καί μ' οὐ νομίζω παῖδα ϲὸν πεφυκέναι.
ἦ τἄρα πάντων διαπρέπειϲ ἀψυχίαι,
ὃϲ τηλικόϲδ' ὢν κἀπὶ τέρμ' ἥκων βίου
οὐκ ἠθέληϲαϲ οὐδ' ἐτόλμηϲαϲ θανεῖν
τοῦ ϲοῦ πρὸ παιδόϲ, ἀλλὰ τήνδ' εἰάϲατε
γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα
καὶ πατέρ' ἂν ἐνδίκωϲ ἂν ἡγοίμην μόνην.
καίτοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίϲω
τοῦ ϲοῦ πρὸ παιδὸϲ κατθανών, βραχὺϲ δέ ϲοι
πάντωϲ ὁ λοιπὸϲ ἦν βιώϲιμοϲ χρόνοϲ.
[κἀγώ τ' ἂν ἔζων χἤδε τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶϲ ἔϲτενον κακοῖϲ ἐμοῖϲ.]
καὶ μὴν ὅϲ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα
πέπονθαϲ· ἥβηϲαϲ μὲν ἐν τυραννίδι,
παῖϲ δ' ἦν ἐγώ ϲοι τῶνδε διάδοχοϲ δόμων,
ὥϲτ' οὐκ ἄτεκνοϲ κατθανὼν ἄλλοιϲ δόμον
λείψειν ἔμελλεϲ ὀρφανὸν διαρπάϲαι.

οὐ μὴν ἐρεῖς γέ μ' ὡς ἀτιμάζοντα σὸν
γῆρας θανεῖν προύδωκας, ὅστις αἰδόφρων
πρὸς σ' ἦ μάλιστα· κἀντὶ τῶνδέ μοι χάριν
τοιάνδε καὶ σὺ χὴ τεκοῦς' ἠλλαξάτην.
τοιγὰρ φυτεύων παῖδας οὐκέτ' ἂν φθάνοις,
οἳ γηροβοσκήσουσι καὶ θανόντα σε
περιστελοῦσι καὶ προθήσονται νεκρόν.
οὐ γάρ σ' ἔγωγε τῆιδ' ἐμῆι θάψω χερί·
τέθνηκα γὰρ δὴ τοὐπὶ σ'. εἰ δ' ἄλλου τυχὼν
σωτῆρος αὐγὰς εἰσορῶ, κείνου λέγω
καὶ παῖδά μ' εἶναι καὶ φίλον γηροτρόφον.
μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου·
ἢν δ' ἐγγὺς ἔλθηι θάνατος, οὐδεὶς βούλεται
θνήισκειν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ.

Χο. παύσασθ', ἅλις γὰρ ἡ παροῦσα συμφορά·
ὦ παῖ, πατρὸς δὲ μὴ παροξύνηις φρένας.

Φε. ὦ παῖ, τίν' αὐχεῖς, πότερα Λυδὸν ἢ Φρύγα
κακοῖς ἐλαύνειν ἀργυρώνητον σέθεν;
οὐκ οἶσθα Θεσσαλόν με κἀπὸ Θεσσαλοῦ
πατρὸς γεγῶτα γνησίως ἐλεύθερον;
ἄγαν ὑβρίζεις καὶ νεανίας λόγους
ῥίπτων ἐς ἡμᾶς οὐ βαλὼν οὕτως ἄπει.
ἐγὼ δέ σ' οἴκων δεσπότην ἐγεινάμην
κἄθρεψ', ὀφείλω δ' οὐχ ὑπερθνήισκειν σέθεν·
οὐ γὰρ πατρῶιον τόνδ' ἐδεξάμην νόμον,
παίδων προθνήισκειν πατέρας, οὐδ' Ἑλληνικόν.
σαυτῶι γὰρ εἴτε δυστυχὴς εἴτ' εὐτυχὴς

ἔφυς· ἃ δ' ἡμῶν χρῆν σε τυγχάνειν ἔχεις.
πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας
λείψω· πατρὸς γὰρ ταὔτ' ἐδεξάμην πάρα.
τί δῆτά σ' ἠδίκηκα; τοῦ σ' ἀποστερῶ;
μὴ θνῆισχ' ὑπὲρ τοῦδ' ἀνδρός, οὐδ' ἐγὼ πρὸ σοῦ.
χαίρεις ὁρῶν φῶς· πατέρα δ' οὐ χαίρειν δοκεῖς;
ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι
χρόνον, τὸ δὲ ζῆν σμικρὸν ἀλλ' ὅμως γλυκύ.
σὺ γοῦν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν
καὶ ζῆις παρελθὼν τὴν πεπρωμένην τύχην,
ταύτην κατακτάς· εἶτ' ἐμὴν ἀψυχίαν
λέγεις, γυναικός, ὦ κάκισθ', ἡσσημένος,
ἣ τοῦ καλοῦ σοῦ προύθανεν νεανίου;
σοφῶς δ' ἐφηῦρες ὥστε μὴ θανεῖν ποτε,
εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ
γυναῖχ' ὑπὲρ σοῦ· κᾆιτ' ὀνειδίζεις φίλοις
τοῖς μὴ θέλουσι δρᾶν τάδ', αὐτὸς ὢν κακός;
σίγα· νόμιζε δ', εἰ σὺ τὴν σαυτοῦ φιλεῖς
ψυχήν, φιλεῖν ἅπαντας· εἰ δ' ἡμᾶς κακῶς
ἐρεῖς, ἀκούσηι πολλὰ κοὐ ψευδῆ κακά.

Χο. πλείω λέλεκται νῦν τε καὶ τὸ πρὶν κακά·
παῦσαι δέ, πρέσβυ, παῖδα σὸν κακορροθῶν.

Αδ. λέγ', ὡς ἐμοῦ λέξαντος· εἰ δ' ἀλγεῖς κλύων
τἀληθές, οὐ χρῆν σ' εἰς ἔμ' ἐξαμαρτάνειν.

Φε. σοῦ δ' ἂν προθνήισκων μᾶλλον ἐξημάρτανον.

Αδ. ταὐτὸν γὰρ ἡβῶντ' ἄνδρα καὶ πρέσβυν θανεῖν;

Φε. ψυχῆι μιᾶι ζῆν, οὐ δυοῖν, ὀφείλομεν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/73 UNIVERSITÄT LEIPZIG

Αδ. καὶ μὴν Διός γε μείζονα ζώηις χρόνον.
Φε. ἀρᾶι γονεῦσιν οὐδὲν ἔκδικον παθών;
Αδ. μακροῦ βίου γὰρ ἠισθόμην ἐρῶντά σε.
Φε. ἀλλ᾽ οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ᾽ ἐκφέρεις;
Αδ. σημεῖα τῆς σῆς γ᾽, ὦ κάκιστ᾽, ἀψυχίας.
Φε. οὔτοι πρὸς ἡμῶν γ᾽ ὤλετ᾽· οὐκ ἐρεῖς τόδε.
Αδ. φεῦ·
εἴθ᾽ ἀνδρὸς ἔλθοις τοῦδέ γ᾽ ἐς χρείαν ποτέ.
Φε. μνήστευε πολλάς, ὡς θάνωσι πλείονες.
Αδ. σοὶ τοῦτ᾽ ὄνειδος· οὐ γὰρ ἤθελες θανεῖν.
Φε. φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.
Αδ. κακὸν τὸ λῆμα κοὐκ ἐν ἀνδράσιν τὸ σόν.
Φε. οὐκ ἐγγελᾶις γέροντα βαστάζων νεκρόν.
Αδ. θανῆι γε μέντοι δυσκλεής, ὅταν θάνηις.
Φε. κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.
Αδ. φεῦ φεῦ· τὸ γῆρας ὡς ἀναιδείας πλέων.
Φε. ἥδ᾽ οὐκ ἀναιδής· τήνδ᾽ ἐφηῦρες ἄφρονα.
Αδ. ἄπελθε κἀμὲ τόνδ᾽ ἔα θάψαι νεκρόν.
Φε. ἄπειμι· θάψεις δ᾽ αὐτὸς ὢν αὐτῆς φονεύς,
δίκας δὲ δώσεις σοῖσι κηδεσταῖς ἔτι·
ἦ τἄρ᾽ Ἄκαστος οὐκέτ᾽ ἔστ᾽ ἐν ἀνδράσιν,
εἰ μή σ᾽ ἀδελφῆς αἷμα τιμωρήσεται.
Αδ. ἔρρων νυν αὐτὸς χὴ ξυνοικήσασά σοι,
ἄπαιδε παιδὸς ὄντος, ὥσπερ ἄξιοι,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/74 UNIVERSITÄT LEIPZIG

γηράcκετ᾽· οὐ γὰρ τῶιδ᾽ ἔτ᾽ ἐc ταὐτὸν cτέγοc
νεῖcθ᾽· εἰ δ᾽ ἀπειπεῖν χρῆν με κηρύκων ὕπο
τὴν cὴν πατρώιαν ἑcτίαν, ἀπεῖπον ἄν.
ἡμεῖc δέ, τοὐν ποcὶν γὰρ οἰcτέον κακόν,
cτείχωμεν, ὡc ἂν ἐν πυρᾶι θῶμεν νεκρόν.

Χο. ἰὼ ἰώ. cχετλία τόλμηc,
ὦ γενναία καὶ μέγ᾽ ἀρίcτη,
χαῖρε· πρόφρων cε χθόνιόc θ᾽ Ἑρμῆc
Ἅιδηc τε δέχοιτ᾽. εἰ δέ τι κἀκεῖ
πλέον ἔcτ᾽ ἀγαθοῖc, τούτων μετέχουc᾽
Ἅιδου νύμφηι παρεδρεύοιc.

ΘΕΡΑΠΩΝ

πολλοὺc μὲν ἤδη κἀπὸ παντοίαc χθονὸc
ξένουc μολόνταc οἶδ᾽ ἐc Ἀδμήτου δόμουc,
οἷc δεῖπνα προὔθηκ᾽· ἀλλὰ τοῦδ᾽ οὔπω ξένου
κακίον᾽ ἐc τήνδ᾽ ἑcτίαν ἐδεξάμην.
ὃc πρῶτα μὲν πενθοῦντα δεcπότην ὁρῶν
ἐcῆλθε κἀτόλμηc᾽ ἀμείψαcθαι πύλαc.
ἔπειτα δ᾽ οὔτι cωφρόνωc ἐδέξατο
τὰ προcτυχόντα ξένια, cυμφορὰν μαθών,
ἀλλ᾽, εἴ τι μὴ φέροιμεν, ὤτρυνεν φέρειν.
ποτῆρα δ᾽ †ἐν χείρεccι† κίccινον λαβὼν
πίνει μελαίνηc μητρὸc εὔζωρον μέθυ,
ἕωc ἐθέρμην᾽ αὐτὸν ἀμφιβᾶcα φλὸξ
οἴνου. cτέφει δὲ κρᾶτα μυρcίνηc κλάδοιc,
ἄμουc᾽ ὑλακτῶν· διccὰ δ᾽ ἦν μέλη κλύειν·
ὁ μὲν γὰρ ἦιδε, τῶν ἐν Ἀδμήτου κακῶν

οὐδὲν προτιμῶν, οἰκέται δ' ἐκλαίομεν
δέσποιναν, ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένωι
τέγγοντες· Ἄδμητος γὰρ ὧδ' ἐφίετο.
καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
ξένον, πανοῦργον κλῶπα καὶ ληιστήν τινα,
ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην
οὐδ' ἐξέτεινα χεῖρ' ἀποιμώζων ἐμὴν
δέσποιναν, ἥ 'μοὶ πᾶσί τ' οἰκέταισιν ἦν
μήτηρ· κακῶν γὰρ μυρίων ἐρρύετο,
ὀργὰς μαλάσσους' ἀνδρός. ἆρα τὸν ξένον
στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;

Ηρ. οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον
εἶναι, δέχεσθαι δ' εὐπροσηγόρωι φρενί.
σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν
στυγνῶι προσώπωι καὶ συνωφρυωμένωι
δέχηι, θυραίου πήματος σπουδὴν ἔχων.
δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένηι.
τὰ θνητὰ πράγματ' †οἶδας† ἣν ἔχει φύσιν;
οἶμαι μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται·
τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται,
κἄστ' οὐ διδακτὸν οὐδ' ἁλίσκεται τέχνηι.
ταῦτ' οὖν ἀκούσας καὶ μαθὼν ἐμοῦ πάρα



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/76 UNIVERSITÄT LEIPZIG

εὔφραινε ϲαυτόν, πῖνε, τὸν καθ' ἡμέραν
βίον λογίζου ϲόν, τὰ δ' ἄλλα τῆϲ τύχηϲ.
τίμα δὲ καὶ τὴν πλεῖϲτον ἡδίϲτην θεῶν
Κύπριν βροτοῖϲιν· εὐμενὴϲ γὰρ ἡ θεόϲ.
τὰ δ' ἄλλ' ἔαϲον πάντα καὶ πιθοῦ λόγοιϲ
ἐμοῖϲιν, εἴπερ ὀρθά ϲοι δοκῶ λέγειν.
οἶμαι μέν. οὔκουν τὴν ἄγαν λύπην ἀφεὶϲ
πίηι μεθ' ἡμῶν [τάϲδ' ὑπερβαλὼν τύχαϲ,
ϲτεφάνοιϲ πυκαϲθείϲ]; καὶ ϲάφ' οἶδ' ὁθούνεκα
τοῦ νῦν ϲκυθρωποῦ καὶ ξυνεϲτῶτοϲ φρενῶν
μεθορμιεῖ ϲε πίτυλοϲ ἐμπεϲὼν ϲκύφου.
ὄνταϲ δὲ θνητοὺϲ θνητὰ καὶ φρονεῖν χρεών·
ὡϲ τοῖϲ γε ϲεμνοῖϲ καὶ ϲυνωφρυωμένοιϲ
ἅπαϲίν ἐϲτιν, ὥϲ γ' ἐμοὶ χρῆϲθαι κριτῆι,
οὐ βίοϲ ἀληθῶϲ ὁ βίοϲ ἀλλὰ ϲυμφορά.
Θε. ἐπιϲτάμεϲθα ταῦτα· νῦν δὲ πράϲϲομεν
οὐχ οἷα κώμου καὶ γέλωτοϲ ἄξια.
Ηρ. γυνὴ θυραῖοϲ ἡ θανοῦϲα· μὴ λίαν
πένθει· δόμων γὰρ ζῶϲι τῶνδε δεϲπόται.
Θε. τί ζῶϲιν; οὐ κάτοιϲθα τὰν δόμοιϲ κακά;
Ηρ. εἰ μή τι ϲόϲ με δεϲπότηϲ ἐψεύϲατο.
Θε. ἄγαν ἐκεῖνόϲ ἐϲτ' ἄγαν φιλόξενοϲ.
Ηρ. οὐ χρῆν μ' ὀθνείου γ' οὕνεκ' εὖ πάϲχειν νεκροῦ;
Θε. ἦ κάρτα μέντοι καὶ λίαν ὀθνεῖοϲ ἦν.
Ηρ. μῶν ξυμφοράν τιν' οὖϲαν οὐκ ἔφραζέ μοι;
Θε. χαίρων ἴθ'· ἡμῖν δεϲποτῶν μέλει κακά.
Ηρ. ὅδ' οὐ θυραίων πημάτων ἄρχει λόγοϲ.
Θε. οὐ γάρ τι κωμάζοντ' ἂν ἠχθόμην ϲ' ὁρῶν.

Ηρ. ἀλλ' ἦ πέπονθα δείν' ὑπὸ ξένων ἐμῶν;
Θε. οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμοις.
[πένθος γὰρ ἡμῖν ἐστι· καὶ κουρὰν βλέπεις
μελαμπέπλους στολμούς τε. Ηρ. τίς δ' ὁ κατθανών;]
⟨Ηρ.⟩ μῶν ἢ τέκνων τι φροῦδον ἢ γέρων πατήρ;
Θε. γυνὴ μὲν οὖν ὄλωλεν 'Αδμήτου, ξένε.
Ηρ. τί φήις; ἔπειτα δῆτά μ' ἐξενίζετε;
Θε. ἠιδεῖτο γάρ σε τῶνδ' ἀπώσασθαι δόμων.
Ηρ. ὦ σχέτλι', οἵας ἤμπλακες ξυναόρου.
Θε. ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.
Ηρ. ἀλλ' ἠισθόμην μὲν ὄμμ' ἰδὼν δακρυρροοῦν
κουράν τε καὶ πρόσωπον· ἀλλ' ἔπειθέ με
λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.
βίαι δὲ θυμοῦ τάσδ' ὑπερβαλὼν πύλας
ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,
πράσσοντος οὕτω. κᾆιτα κωμάζω κάρα
στεφάνοις πυκασθείς; ἀλλὰ σοῦ τὸ μὴ φράσαι,
κακοῦ τοσούτου δώμασιν προσκειμένου.
ποῦ καί σφε θάπτει; ποῖ νιν εὑρήσω μολών;
Θε. ὀρθὴν παρ' οἶμον ἢ 'πὶ Λαρίσαν φέρει
τύμβον κατόψηι ξεστὸν ἐκ προαστίου.
Ηρ. ὦ πολλὰ τλᾶσα καρδία καὶ χεὶρ ἐμή,
νῦν δεῖξον οἷον παῖδά σ' ἡ Τιρυνθία
ἐγείνατ' 'Ηλεκτρύωνος 'Αλκμήνη Διί.

δεῖ γάρ με cῶcαι τὴν θανοῦcαν ἀρτίως
γυναῖκα κἀc τόνδ᾽ αὖθιc ἱδρῦcαι δόμον
Ἄλκηcτιν Ἀδμήτωι θ᾽ ὑπουργῆcαι χάριν.
ἐλθὼν δ᾽ ἄνακτα τὸν μελάμπτερον νεκρῶν
Θάνατον φυλάξω, καί νιν εὑρήcειν δοκῶ
πίνοντα τύμβου πληcίον προcφαγμάτων.
κἄνπερ λοχαίαc αὐτὸν ἐξ ἕδραc cυθεὶc
μάρψω, κύκλον γε περιβαλὼν χεροῖν ἐμαῖν,
οὐκ ἔcτιν ὅcτιc αὐτὸν ἐξαιρήcεται
μογοῦντα πλευρά, πρὶν γυναῖκ᾽ ἐμοὶ μεθῆι.
ἢν δ᾽ οὖν ἁμάρτω τῆcδ᾽ ἄγραc καὶ μὴ μόληι
πρὸc αἱματηρὸν πελανόν, εἶμι τῶν κάτω
Κόρηc ἄνακτόc τ᾽ εἰc ἀνηλίουc δόμουc,
αἰτήcομαί τε καὶ πέποιθ᾽ ἄξειν ἄνω
Ἄλκηcτιν, ὥcτε χερcὶν ἐνθεῖναι ξένου,
ὅc μ᾽ ἐc δόμουc ἐδέξατ᾽ οὐδ᾽ ἀπήλαcεν,
καίπερ βαρείαι cυμφορᾶι πεπληγμένοc,
ἔκρυπτε δ᾽ ὢν γενναῖοc, αἰδεcθεὶc ἐμέ.
τίc τοῦδε μᾶλλον Θεccαλῶν φιλόξενοc,
τίc Ἑλλάδ᾽ οἰκῶν; τοιγὰρ οὐκ ἐρεῖ κακὸν
εὐεργετῆcαι φῶτα γενναῖοc γεγώc.

Αδ. ἰώ,
cτυγναὶ πρόcοδοι, cτυγναὶ δ᾽ ὄψειc
χήρων μελάθρων.
ἰώ μοί μοι, αἰαῖ ⟨αἰαῖ⟩.
ποῖ βῶ; ποῖ cτῶ; τί λέγω; τί δὲ μή;
πῶc ἂν ὀλοίμην;

ἧ βαρυδαίμονα μήτηρ μ᾽ ἔτεκεν.
ζηλῶ φθιμένουϲ, κείνων ἔραμαι,
κεῖν᾽ ἐπιθυμῶ δώματα ναίειν.
οὔτε γὰρ αὐγὰϲ χαίρω προϲορῶν
οὔτ᾽ ἐπὶ γαίαϲ πόδα πεζεύων·
τοῖον ὅμηρόν μ᾽ ἀποϲυλήϲαϲ
Ἅιδηι Θάνατοϲ παρέδωκεν.

Χο. πρόβα πρόβα, βᾶθι κεῦθοϲ οἴκων. [ϲτρ. α
Αδ. αἰαῖ.
Χο. πέπονθαϲ ἄξι᾽ αἰαγμάτων.
Αδ. ἒ ἔ.
Χο. δι᾽ ὀδύναϲ ἔβαϲ, ϲάφ᾽ οἶδα.
Αδ. φεῦ φεῦ.
Χο. τὰν νέρθε δ᾽ οὐδὲν ὠφελεῖϲ.
Αδ. ἰώ μοί μοι.
Χο. τὸ μήποτ᾽ εἰϲιδεῖν φιλίαϲ ἀλόχου
πρόϲωπόν ϲ᾽ ἔϲαντα λυπρόν.

Αδ. ἔμνηϲαϲ ὅ μου φρέναϲ ἥλκωϲεν·
τί γὰρ ἀνδρὶ κακὸν μεῖζον ἁμαρτεῖν
πιϲτῆϲ ἀλόχου; μήποτε γήμαϲ
ὤφελον οἰκεῖν μετὰ τῆϲδε δόμουϲ.
ζηλῶ δ᾽ ἀγάμουϲ ἀτέκνουϲ τε βροτῶν·
μία γὰρ ψυχή, τῆϲ ὑπεραλγεῖν
μέτριον ἄχθοϲ.
παίδων δὲ νόϲουϲ καὶ νυμφιδίουϲ

εὐνὰς θανάτοις κεραϊζομένας
οὐ τλητὸν ὁρᾶν, ἐξὸν ἀτέκνους
ἀγάμους τ᾽ εἶναι διὰ παντός.

Χο. τύχα τύχα δυςπάλαιςτος ἥκει. [ἀντ. α
Αδ. αἰαῖ.
Χο. πέρας δέ γ᾽ οὐδὲν ἀλγέων τίθης.
Αδ. ἒ ἔ.
Χο. βαρέα μὲν φέρειν, ὅμως δὲ . . .
Αδ. φεῦ φεῦ.
Χο. τλᾶθ᾽· οὐ cὺ πρῶτος ὤλεςας . . .
Αδ. ἰώ μοί μοι.
Χο. γυναῖκα· ςυμφορὰ δ᾽ ἑτέρους ἑτέρα
πιέζει φανεῖςα θνατῶν.

Αδ. ὦ μακρὰ πένθη λῦπαί τε φίλων
τῶν ὑπὸ γαίας.
τί μ᾽ ἐκώλυςας ῥῖψαι τύμβου
τάφρον ἐς κοίλην καὶ μετ᾽ ἐκείνης
τῆς μέγ᾽ ἀρίςτης κεῖςθαι φθίμενον;
δύο δ᾽ ἀντὶ μιᾶς Ἅιδης ψυχὰς
τὰς πιςτοτάτας cὺν ἂν ἔςχεν, ὁμοῦ
χθονίαν λίμνην διαβάντε.

Χο. ἐμοί τις ἦν [ςτρ. β
ἐν γένει, ὧι κόρος ἀξιόθρη-
νος ὤλετ᾽ ἐν δόμοιςιν
μονόπαις· ἀλλ᾽ ἔμπας

ἔφερε κακὸν ἅλις, ἄτεκνος ὤν,
πολιὰς ἐπὶ χαίτας
ἤδη προπετὴς ὢν
βιότου τε πόρσω.

Αδ. ὦ σχῆμα δόμων, πῶς εἰσέλθω,
πῶς δ' οἰκήσω, μεταπίπτοντος
δαίμονος; οἴμοι. πολὺ γὰρ τὸ μέσον·
τότε μὲν πεύκαις σὺν Πηλιάσιν
σύν θ' ὑμεναίοις ἔστειχον ἔσω
φιλίας ἀλόχου χέρα βαστάζων,
πολυάχητος δ' εἵπετο κῶμος
τήν τε θανοῦσαν κἄμ' ὀλβίζων
ὡς εὐπατρίδαι κἀπ' ἀμφοτέρων
ὄντες ἀριστέων σύζυγες εἶμεν·
νῦν δ' ὑμεναίων γόος ἀντίπαλος
λευκῶν τε πέπλων μέλανες στολμοὶ
πέμπουσί μ' ἔσω
λέκτρων κοίτας ἐς ἐρήμους.

Χο. παρ' εὐτυχῆ [ἀντ. β
σοι πότμον ἦλθεν ἀπειροκάκωι
τόδ' ἄλγος· ἀλλ' ἔσωσας
βίοτον καὶ ψυχάν.
ἔθανε δάμαρ, ἔλιπε φιλίαν·
τί νέον τόδε; πολλοὺς
ἤδη παρέλυσεν
θάνατος δάμαρτος.

Αδ. φίλοι, γυναικὸϲ δαίμον᾽ εὐτυχέϲτερον
τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ᾽ ὅμωϲ.
τῆϲ μὲν γὰρ οὐδὲν ἄλγοϲ ἅψεταί ποτε,
πολλῶν δὲ μόχθων εὐκλεὴϲ ἐπαύϲατο.
ἐγὼ δ᾽, ὃν οὐ χρῆν ζῆν, παρεὶϲ τὸ μόρϲιμον
λυπρὸν διάξω βίοτον· ἄρτι μανθάνω.
πῶϲ γὰρ δόμων τῶνδ᾽ εἰϲόδουϲ ἀνέξομαι;
τίν᾽ ἂν προϲειπών, τοῦ δὲ προϲρηθεὶϲ ὕπο
τερπνῆϲ τύχοιμ᾽ ἂν εἰϲόδου; ποῖ τρέψομαι;
ἡ μὲν γὰρ ἔνδον ἐξελᾶι μ᾽ ἐρημία,
γυναικὸϲ εὐνὰϲ εὖτ᾽ ἂν εἰϲίδω κενὰϲ
θρόνουϲ τ᾽ ἐν οἷϲιν ἷζε καὶ κατὰ ϲτέγαϲ
αὐχμηρὸν οὖδαϲ, τέκνα δ᾽ ἀμφὶ γούναϲιν
πίπτοντα κλαίηι μητέρ᾽, οἱ δὲ δεϲπότιν
ϲτένωϲιν οἵαν ἐκ δόμων ἀπώλεϲαν.
τὰ μὲν κατ᾽ οἴκουϲ τοιάδ᾽· ἔξωθεν δέ με
γάμοι τ᾽ ἐλῶϲι Θεϲϲαλῶν καὶ ξύλλογοι
γυναικοπληθεῖϲ· οὐ γὰρ ἐξανέξομαι
λεύϲϲων δάμαρτοϲ τῆϲ ἐμῆϲ ὁμήλικαϲ.
ἐρεῖ δέ μ᾽ ὅϲτιϲ ἐχθρὸϲ ὢν κυρεῖ τάδε·
Ἰδοῦ τὸν αἰϲχρῶϲ ζῶνθ᾽, ὃϲ οὐκ ἔτλη θανεῖν
ἀλλ᾽ ἣν ἔγημεν ἀντιδοὺϲ ἀψυχίαι
πέφευγεν Ἅιδην· κᾆιτ᾽ ἀνὴρ εἶναι δοκεῖ;
ϲτυγεῖ δὲ τοὺϲ τεκόνταϲ, αὐτὸϲ οὐ θέλων
θανεῖν. τοιάνδε πρὸϲ κακοῖϲι κληδόνα
ἕξω. τί μοι ζῆν δῆτα κύδιον, φίλοι,
κακῶϲ κλύοντι καὶ κακῶϲ πεπραγότι;

Χο. ἐγὼ καὶ διὰ μούϲαϲ [ϲτρ. α
καὶ μετάρϲιοϲ ἦιξα, καὶ

πλείστων ἁψάμενος λόγων
κρεῖσσον οὐδὲν Ἀνάγκας
ηὗρον οὐδέ τι φάρμακον
Θρήισσαις ἐν σανίσιν, τὰς
Ὀρφεία κατέγραψεν
γῆρυς, οὐδ' ὅσα Φοῖβος Ἀ-
　σκληπιάδαις ἔδωκε
φάρμακα πολυπόνοις
ἀντιτεμὼν βροτοῖσιν.

μόνας δ' οὔτ' ἐπὶ βωμοὺς [ἀντ. α
ἐλθεῖν οὔτε βρέτας θεᾶς
ἔστιν, οὐ σφαγίων κλύει.
μή μοι, πότνια, μείζων
ἔλθοις ἢ τὸ πρὶν ἐν βίωι.
καὶ γὰρ Ζεὺς ὅτι νεύσηι
σὺν σοὶ τοῦτο τελευτᾶι.
καὶ τὸν ἐν Χαλύβοις δαμά-
　ζεις σὺ βίαι σίδαρον,
οὐδέ τις ἀποτόμου
λήματός ἐστιν αἰδώς.

καί σ' ἐν ἀφύκτοισι χερῶν εἷλε θεὰ δεσμοῖς. [στρ. β
τόλμα δ'· οὐ γὰρ ἀνάξεις ποτ' ἔνερθεν
κλαίων τοὺς φθιμένους ἄνω.
καὶ θεῶν σκότιοι φθίνου-
　σι παῖδες ἐν θανάτωι.
φίλα μὲν ὅτ' ἦν μεθ' ἡμῶν,

φίλα δὲ θανοῦϲ᾽ ἔτ᾽ ἔϲται,
γενναιοτάταν δὲ παϲᾶν
ἐζεύξω κλιϲίαιϲ ἄκοιτιν.

μηδὲ νεκρῶν ὡϲ φθιμένων χῶμα νομιζέϲθω [ἀντ. β
τύμβοϲ ϲᾶϲ ἀλόχου, θεοῖϲι δ᾽ ὁμοίωϲ
τιμάϲθω, ϲέβαϲ ἐμπόρων.
καί τιϲ δοχμίαν κέλευ-
θον ἐμβαίνων τόδ᾽ ἐρεῖ·
Αὕτα ποτὲ προύθαν᾽ ἀνδρόϲ,
νῦν δ᾽ ἔϲτι μάκαιρα δαίμων·
χαῖρ᾽, ὦ πότνι᾽, εὖ δὲ δοίηϲ.
τοῖαί νιν προϲεροῦϲι φῆμαι.

— καὶ μὴν ὅδ᾽, ὡϲ ἔοικεν, Ἀλκμήνηϲ γόνοϲ,
Ἄδμητε, πρὸϲ ϲὴν ἑϲτίαν πορεύεται.
*Ηρ.* φίλον πρὸϲ ἄνδρα χρὴ λέγειν ἐλευθέρωϲ,
Ἄδμητε, μομφὰϲ δ᾽ οὐχ ὑπὸ ϲπλάγχνοιϲ ἔχειν
ϲιγῶντ᾽. ἐγὼ δὲ ϲοῖϲ κακοῖϲιν ἠξίουν
ἐγγὺϲ παρεϲτὼϲ ἐξετάζεϲθαι φίλοϲ·
ϲὺ δ᾽ οὐκ ἔφραζεϲ ϲῆϲ προκείμενον νέκυν
γυναικόϲ, ἀλλά μ᾽ ἐξένιζεϲ ἐν δόμοιϲ,
ὡϲ δὴ θυραίου πήματοϲ ϲπουδὴν ἔχων.
κἄϲτεψα κρᾶτα καὶ θεοῖϲ ἐλειψάμην
ϲπονδὰϲ ἐν οἴκοιϲ δυϲτυχοῦϲι τοῖϲι ϲοῖϲ.
καὶ μέμφομαι μέν, μέμφομαι, παθὼν τάδε·
οὐ μήν ϲε λυπεῖν ἐν κακοῖϲι βούλομαι.
ὧν δ᾽ οὕνεχ᾽ ἧκω δεῦρ᾽ ὑποϲτρέψαϲ πάλιν

λέξω· γυναῖκα τήνδε μοι cῶcον λαβών,
ἕως ἂν ἵππους δεῦρο Θρῃκίας ἄγων
ἔλθω, τύραννον Βιστόνων κατακτανών.
πράξας δ' ὃ μὴ τύχοιμι (νοστήcαιμι γάρ)
δίδωμι τήνδε cοῖcι προσπολεῖν δόμοις.
πολλῶι δὲ μόχθωι χεῖρας ἦλθεν εἰc ἐμάc·
ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς
τιθέντας, ἀθληταῖcιν ἄξιον πόνον,
ὅθεν κομίζω τήνδε νικητήρια
λαβών. τὰ μὲν γὰρ κοῦφα τοῖc νικῶcιν ἦν
ἵππους ἄγεcθαι, τοῖcι δ' αὖ τὰ μείζονα
νικῶcι, πυγμὴν καὶ πάλην, βουφόρβια·
γυνὴ δ' ἐπ' αὐτοῖc εἵπετ'· ἐντυχόντι δὲ
αἰcχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεέc.
ἀλλ', ὥcπερ εἶπον, cοὶ μέλειν γυναῖκα χρή·
οὐ γὰρ κλοπαίαν ἀλλὰ cὺν πόνωι λαβὼν
ἥκω· χρόνωι δὲ καὶ cύ μ' αἰνέcειc ἴcωc.
Αδ. οὔτοι c' ἀτίζων οὐδ' ἐν αἰcχροῖcιν τιθεὶc
ἔκρυψ' ἐμῆc γυναικὸc ἀθλίουc τύχαc.
ἀλλ' ἄλγοc ἄλγει τοῦτ' ἂν ἦν προcκείμενον,
εἴ του πρὸc ἄλλου δώμαθ' ὡρμήθηc ξένου·
ἅλιc δὲ κλαίειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
γυναῖκα δ', εἴ πωc ἔcτιν, αἰτοῦμαί c', ἄναξ,
ἄλλον τιν' ὅcτιc μὴ πέπονθεν οἷ' ἐγὼ
cώιζειν ἄνωχθι Θεccαλῶν· πολλοὶ δέ cοι
ξένοι Φεραίων· μή μ' ἀναμνήcῃc κακῶν.
οὐκ ἂν δυναίμην τήνδ' ὁρῶν ἐν δώμαcιν
ἄδακρυc εἶναι· μὴ νοcοῦντί μοι νόcον

προϲθῆιϲ· ἅλιϲ γὰρ ϲυμφορᾶι βαρύνομαι.
ποῦ καὶ τρέφοιτ᾽ ἂν δωμάτων νέα γυνή;
νέα γάρ, ὡϲ ἐϲθῆτι καὶ κόϲμωι πρέπει.
πότερα κατ᾽ ἀνδρῶν δῆτ᾽ ἐνοικήϲει ϲτέγην;
καὶ πῶϲ ἀκραιφνὴϲ ἐν νέοιϲ ϲτρωφωμένη
ἔϲται; τὸν ἡβῶνθ᾽, Ἡράκλειϲ, οὐ ῥάιδιον
εἴργειν· ἐγὼ δὲ ϲοῦ προμηθίαν ἔχω.
ἢ τῆϲ θανούϲηϲ θάλαμον ἐϲβήϲαϲ τρέφω;
καὶ πῶϲ ἐπεϲφρῶ τήνδε τῶι κείνηϲ λέχει;
διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν,
μή τίϲ μ᾽ ἐλέγξηι τὴν ἐμὴν εὐεργέτιν
προδόντ᾽ ἐν ἄλληϲ δεμνίοιϲ πίτνειν νέαϲ,
καὶ τῆϲ θανούϲηϲ (ἀξία δέ μοι ϲέβειν)
πολλὴν πρόνοιαν δεῖ μ᾽ ἔχειν. ϲὺ δ᾽, ὦ γύναι,
ἥτιϲ ποτ᾽ εἶ ϲύ, ταὔτ᾽ ἔχουϲ᾽ Ἀλκήϲτιδι
μορφῆϲ μέτρ᾽ ἴϲθι, καὶ προϲήϊξαι δέμαϲ.
οἴμοι. κόμιζε πρὸϲ θεῶν ἐξ ὀμμάτων
γυναῖκα τήνδε, μή μ᾽ ἕληιϲ ἡιρημένον.
δοκῶ γὰρ αὐτὴν εἰϲορῶν γυναῖχ᾽ ὁρᾶν
ἐμήν· θολοῖ δὲ καρδίαν, ἐκ δ᾽ ὀμμάτων
πηγαὶ κατερρώγαϲιν. ὦ τλήμων ἐγώ,
ὡϲ ἄρτι πένθουϲ τοῦδε γεύομαι πικροῦ.

Χο. ἐγὼ μὲν οὐκ ἔχοιμ᾽ ἂν εὖ λέγειν τύχην·
χρὴ δ᾽, ἥτιϲ ἐϲτί, καρτερεῖν θεοῦ δόϲιν.

Ηρ. εἰ γὰρ τοϲαύτην δύναμιν εἶχον ὥϲτε ϲὴν

ἐς φῶς πορεῦσαι νερτέρων ἐκ δωμάτων
γυναῖκα καί σοι τήνδε πορσῦναι χάριν.
Αδ. σάφ' οἶδα βούλεσθαί σ' ἄν. ἀλλὰ ποῦ τόδε;
οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.
Ηρ. μή νυν ὑπέρβαλλ' ἀλλ' ἐναισίμως φέρε.
Αδ. ῥᾶιον παραινεῖν ἢ παθόντα καρτερεῖν.
Ηρ. τί δ' ἂν προκόπτοις, εἰ θέλεις ἀεὶ στένειν;
Αδ. ἔγνωκα καὐτός, ἀλλ' ἔρως τις ἐξάγει.
Ηρ. τὸ γὰρ φιλῆσαι τὸν θανόντ' ἄγει δάκρυ.
Αδ. ἀπώλεσέν με κἄτι μᾶλλον ἢ λέγω.
Ηρ. γυναικὸς ἐσθλῆς ἤμπλακες· τίς ἀντερεῖ;
Αδ. ὥστ' ἄνδρα τόνδε μηκέθ' ἥδεσθαι βίωι.
Ηρ. χρόνος μαλάξει, νῦν δ' ἔθ' ἡβάσκει, κακόν.
Αδ. χρόνον λέγοις ἄν, εἰ χρόνος τὸ κατθανεῖν.
Ηρ. γυνή σε παύσει καὶ νέοι γάμοι πόθου.
Αδ. σίγησον· οἷον εἶπας. οὐκ ἂν ὠιόμην.
Ηρ. τί δ'; οὐ γαμεῖς γὰρ ἀλλὰ χηρεύσηι λέχος;
Αδ. οὐκ ἔστιν ἥτις τῶιδε συγκλιθήσεται.
Ηρ. μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾶις;
Αδ. κείνην ὅπουπερ ἔστι τιμᾶσθαι χρεών.
Ηρ. αἰνῶ μὲν αἰνῶ· μωρίαν δ' ὀφλισκάνεις.
[Αδ. ὡς μήποτ' ἄνδρα τόνδε νυμφίον καλῶν.
Ηρ. ἐπήινεσ' ἀλόχωι πιστὸς οὕνεκ' εἶ φίλος.]

Αδ. θάνοιμ' ἐκείνην καίπερ οὐκ οὖϲαν προδούϲ.
Ηρ. δέχου νυν εἴϲω τήνδε γενναίωϲ δόμων.
Αδ. μή, πρόϲ ϲε τοῦ ϲπείραντοϲ ἄντομαι Διόϲ.
Ηρ. καὶ μὴν ἁμαρτήϲηι γε μὴ δράϲαϲ τάδε.
Αδ. καὶ δρῶν γε λύπηι καρδίαν δηχθήϲομαι.
Ηρ. πιθοῦ· τάχ' ἂν γὰρ ἐϲ δέον πέϲοι χάριϲ.
Αδ. φεῦ·
εἴθ' ἐξ ἀγῶνοϲ τήνδε μὴ 'λαβέϲ ποτε.
Ηρ. νικῶντι μέντοι καὶ ϲὺ ϲυννικᾶιϲ ἐμοί.
Αδ. καλῶϲ ἔλεξαϲ· ἡ γυνὴ δ' ἀπελθέτω.
Ηρ. ἄπειϲιν, εἰ χρή· πρῶτα δ' εἰ χρεὼν ἄθρει.
Αδ. χρή, ϲοῦ γε μὴ μέλλοντοϲ ὀργαίνειν ἐμοί.
Ηρ. εἰδώϲ τι κἀγὼ τήνδ' ἔχω προθυμίαν.
Αδ. νίκα νυν· οὐ μὴν ἁνδάνοντά μοι ποιεῖϲ.
Ηρ. ἀλλ' ἔϲθ' ὅθ' ἡμᾶϲ αἰνέϲειϲ· πιθοῦ μόνον.
Αδ. κομίζετ', εἰ χρὴ τήνδε δέξαϲθαι δόμοιϲ.
Ηρ. οὐκ ἂν μεθείην ϲοῖϲ γυναῖκα προϲπόλοιϲ.
Αδ. ϲὺ δ' αὐτὸϲ αὐτὴν εἴϲαγ', εἰ δοκεῖ, δόμουϲ.
Ηρ. ἐϲ ϲὰϲ μὲν οὖν ἔγωγε θήϲομαι χέραϲ.
Αδ. οὐκ ἂν θίγοιμι· δῶμα δ' εἰϲελθεῖν πάρα.
Ηρ. τῆι ϲῆι πέποιθα χειρὶ δεξιᾶι μόνηι.
Αδ. ἄναξ, βιάζηι μ' οὐ θέλοντα δρᾶν τάδε.
Ηρ. τόλμα προτεῖναι χεῖρα καὶ θιγεῖν ξένηϲ.
Αδ. καὶ δὴ προτείνω, Γοργόν' ὡϲ καρατομῶν.

[Ηρ. ἔχεις; Αδ. ἔχω, ναί. Ηρ. cῶιζέ νυν καὶ τὸν Διὸς
φήcεις ποτ᾽ εἶναι παῖδα γενναῖον ξένον.]
βλέψον πρὸς αὐτήν, εἴ τι cῆι δοκεῖ πρέπειν
γυναικί· λύπης δ᾽ εὐτυχῶν μεθίcταcο.
Αδ. ὦ θεοί, τί λέξω; θαῦμ᾽ ἀνέλπιcτον τόδε·
γυναῖκα λεύccω τὴν ἐμὴν ἐτητύμως,
ἢ κέρτομός μ᾽ ἐκ θεοῦ τις ἐκπλήccει χαρά;
Ηρ. οὐκ ἔcτιν, ἀλλὰ τήνδ᾽ ὁρᾶις δάμαρτα cήν.
Αδ. ὅρα δὲ μή τι φάcμα νερτέρων τόδ᾽ ἦι.
Ηρ. οὐ ψυχαγωγὸν τόνδ᾽ ἐποιήcω ξένον.
Αδ. ἀλλ᾽ ἣν ἔθαπτον εἰcορῶ δάμαρτ᾽ ἐμήν;
Ηρ. cάφ᾽ ἴcθ᾽· ἀπιcτεῖν δ᾽ οὔ cε θαυμάζω τύχηι.
Αδ. θίγω, προcείπω ζῶcαν ὡc δάμαρτ᾽ ἐμήν;
Ηρ. πρόcειπ᾽· ἔχεις γὰρ πᾶν ὅcονπερ ἤθελες.
Αδ. ὦ φιλτάτης γυναικὸς ὄμμα καὶ δέμας,
ἔχω c᾽ ἀέλπτως, οὔποτ᾽ ὄψεcθαι δοκῶν.
Ηρ. ἔχεις· φθόνος δὲ μὴ γένοιτό τις θεῶν.
Αδ. ὦ τοῦ μεγίcτου Ζηνὸς εὐγενὲς τέκνον,
εὐδαιμονοίης καί c᾽ ὁ φιτύcας πατὴρ
cώιζοι· cὺ γὰρ δὴ τἄμ᾽ ἀνώρθωcας μόνος.
πῶς τήνδ᾽ ἔπεμψας νέρθεν ἐς φάος τόδε;
Ηρ. μάχην cυνάψας δαιμόνων τῶι κυρίωι.
Αδ. ποῦ τόνδε Θανάτωι φὴις ἀγῶνα cυμβαλεῖν;
Ηρ. τύμβον παρ᾽ αὐτόν, ἐκ λόχου μάρψας χεροῖν.
Αδ. τί γάρ ποθ᾽ ἥδ᾽ ἄναυδος ἕcτηκεν γυνή;

Ηρ. οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
ἀφαγνίσηται καὶ τρίτον μόληι φάος.
ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν
τὸ λοιπόν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
καὶ χαῖρ'· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Cθενέλου τυράννωι παιδὶ πορσυνῶ μολών.
Αδ. μεῖνον παρ' ἡμῖν καὶ ξυνέστιος γενοῦ.
Ηρ. αὖθις τόδ' ἔσται, νῦν δ' ἐπείγεσθαί με δεῖ.
Αδ. ἀλλ' εὐτυχοίης, νόστιμον δ' ἔλθοις δρόμον.
ἀστοῖς δὲ πάσηι τ' ἐννέπω τετραρχίαι
χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι
βωμούς τε κνισᾶν βουθύτοισι προστροπαῖς.
νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
τοῦ πρόσθεν· οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.

Χο. πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

SLUB Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/92
UNIVERSITÄT LEIPZIG

# *ΜΗΔΕΙΑ*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/94 UNIVERSITÄT LEIPZIG

## ΕΥΡΙΠΙΔΟΥ

(a)

## ΥΠΟΘΕϹΙϹ ΜΗΔΕΙΑϹ

Ἰάϲων εἰϲ Κόρινθον ἐλθών, ἐπαγόμενοϲ καὶ Μήδειαν, ἐγγυᾶται καὶ τὴν Κρέοντοϲ τοῦ Κορινθίων βαϲιλέωϲ θυγατέρα Γλαύκην πρὸϲ γάμον. μέλλουϲα δὲ ἡ Μήδεια φυγαδεύεϲθαι ὑπὸ τοῦ Κρέοντοϲ ἐκ τῆϲ Κορίνθου, παραιτηϲαμένη πρὸϲ μίαν ἡμέραν μεῖναι καὶ τυχοῦϲα, μιϲθὸν τῆϲ χάριτοϲ δῶρα διὰ τῶν παίδων πέμπει τῆι Γλαύκηι ἐϲθῆτα καὶ χρυϲοῦν ϲτέφανον, οἷϲ ἐκείνη χρηϲαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶϲ τῆι θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ τοὺϲ ἑαυτῆϲ παῖδαϲ ἀποκτείναϲα ἐπὶ ἅρματοϲ δρακόντων πτερωτῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχοϲ γενομένη ἀποδιδράϲκει εἰϲ Ἀθήναϲ κἀκεῖϲε Αἰγεῖ τῶι Πανδίονοϲ γαμεῖται. Φερεκύδηϲ (FGrHist I 3 F 113a) δὲ καὶ Ϲιμωνίδηϲ (PMG 548) φαϲὶν ὡϲ ἡ Μήδεια ἀνεψήϲαϲα τὸν Ἰάϲονα νέον ποιήϲειεν. περὶ δὲ τοῦ πατρὸϲ αὐτοῦ Αἴϲονοϲ ὁ τοὺϲ Νόϲτουϲ ποιήϲαϲ φηϲὶν οὕτωϲ (fr. 6 Kinkel)·

αὐτίκα δ' Αἴϲονα θῆκε φίλον κόρον ἡβώωντα,
γῆραϲ ἀποξύϲαϲ' εἰδυίηιϲι πραπίδεϲϲιν,
φάρμακα πόλλ' ἕψουϲ' ἐπὶ χρυϲείοιϲι λέβηϲιν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/96 UNIVERSITÄT LEIPZIG

Αἰϲχύλοϲ δὲ ἐν ταῖϲ Διονύϲου Τροφοῖϲ (fr. 50 N, 426 M) ἱϲτορεῖ ὅτι καὶ τὰϲ Διονύϲου τροφοὺϲ μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήϲαϲα ἐνεοποίηϲεν. Ϲτάφυλοϲ (FGrHist III A 269 F 11) δέ φηϲι τὸν Ἰάϲονα τρόπον τινὰ ὑπὸ τῆϲ Μηδείαϲ ἀναιρεθῆναι· ἐγκελεύϲαϲθαι γὰρ αὐτὴν οὕτωϲ ὑπὸ τῆι πρύμνηι τῆϲ Ἀργοῦϲ κατακοιμηθῆναι, μελλούϲηϲ τῆϲ νεὼϲ διαλύεϲθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεϲούϲηϲ γοῦν τῆϲ πρύμνηϲ τῶι Ἰάϲονι τελευτῆϲαι αὐτόν.

τὸ δρᾶμα δοκεῖ ὑποβαλέϲθαι παρὰ Νεόφρονοϲ (TrGF 15 Snell) διαϲκευάϲαϲ, ὡϲ Δικαίαρχοϲ ⟨ἐν ⟩ τοῦ τῆϲ Ἑλλάδοϲ βίου (fr. 63 Wehrli) καὶ Ἀριϲτοτέληϲ ἐν ὑπομνήμαϲι (fr. 635). μέμφονται δὲ αὐτῶι τὸ μὴ πεφυλαχέναι τὴν ὑπόκριϲιν τὴν Μήδειαν ἀλλὰ προπεϲεῖν εἰϲ δάκρυα, ὅτε ἐπεβούλευϲε τῶι Ἰάϲονι καὶ τῆι γυναικί. ἐπαινεῖται δὲ ἡ εἰϲβολὴ διὰ τὸ παθητικῶϲ ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργαϲία ‘μηδ’ ἐν νάπαιϲι’ καὶ τὰ ἑξῆϲ. ὅπερ ἀγνοήϲαϲ Τιμαχίδαϲ (fr. 15a Blinkenberg) τῶι ὑϲτέρωι φηϲὶ πρώτωι κεχρῆϲθαι, ὡϲ Ὅμηροϲ·

εἵματά τ’ ἀμφιέϲαϲα θυώδεα καὶ λούϲαϲα (Od. 5. 264).

## ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕϹΙϹ

Μήδεια διὰ τὴν πρὸϲ Ἰάϲονα ἔχθραν τῶι ἐκεῖνον γεγαμηκέναι τὴν Κρέοντοϲ θυγατέρα Γλαύκην ἀπέκτεινε μὲν ταύτην καὶ Κρέοντα καὶ τοὺϲ ἰδίουϲ υἱούϲ, ἐχωρίϲθη δ' Ἰάϲονοϲ Αἰγεῖ ϲυνοικήϲουϲα. παρ' οὐδετέρωι κεῖται ἡ μυθοποιία. ἡ μὲν ϲκηνὴ τοῦ δράματοϲ ὑπόκειται ἐν Κορίνθωι, ὁ δὲ χορὸϲ ϲυνέϲτηκεν ἐκ γυναικῶν πολιτίδων. προλογίζει δὲ τροφὸϲ Μηδείαϲ. ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντοϲ ὀλυμπιάδι π̄ζ̄ ἔτει ᾱ. πρῶτοϲ Εὐφορίων, δεύτεροϲ Ϲοφοκλῆϲ, τρίτοϲ Εὐριπίδηϲ Μηδείαι, Φιλοκτήτηι, Δίκτυι, Θεριϲταῖϲ ϲατύροιϲ. οὐ ϲώιζεται.

τὰ τοῦ δράματοϲ πρόϲωπα· τροφόϲ, παιδαγωγόϲ, Μήδεια, χορὸϲ γυναικῶν, Κρέων, Ἰάϲων, Αἰγεύϲ, ἄγγελοϲ, παῖδεϲ Μηδείαϲ.

(b)

B̄ Μήδεια, ἧς ἀρχ[ή·
ε]ἴθ' ὤφελ' Ἀργοῦς μὴ δ[ιαπτάσθαι σκάφος. ἡ δ' ὑπόθεσις·
](.)τὸν Πελίου φόνον . [
]γενόμενος ἦλθεν ε[ἰς Κόρινθον Μήδει-
]ạν παραịτηςάμενο[ς Κρέον-
]ṭος τοῦ βαςιλεύοντος[ ἡ δὲ Μή-
]δεια βάρβαρον τρόποṿ[
]ṭα θυμὸν ἐβούλετο τ . [
. . .]ωṿ λαβεῖν· ὁ δὲ Κρέ[ων
. .]. η[.] ἐκέλευςε μετὰ [τῶν παίδων
φυ[γάδ]α γẹṿέςθαι . . . [
ην αἰτηςαμένης . [ ςυνεχώ-
ρηςεν· ἡ δ' ẹ̀νταῦθα π̣[ πε-
ṛιεγενήθη· τὸν γὰρ π̣[
Αἰγέα κατὰ τύχην ἐπ[ιφανέντα (ε)αυ-
την ὑποδέξαςθαι [
ὑποκριθεῖςα⟦ν⟧ π̣ρọ̀[ς κο-

μίζονταϲ δῶρα τῆι [Γλαύκηι                    χρυ-
ϲοῦν ϲτέφανον, οἷ[ϲ
μετὰ̣ ἀν̣ί̣αϲ ἀπέλιπ̣[ε
ἀπέδ̣ρ̣[υ]ψεν· ὁ δὲ π[ατὴρ                    βο-
ηθεῖν δὲ τ̣ῆ̣ι̣ θυγατρὶ [                    αὐ-
τ̣ῆ̣ϲ ἀποϲ̣π̣ά̣ϲ̣αι τ̣α . . [
. . . εκρ̣ . . . [. . .] . . . [
π̣ε̣ . ρ̣α̣ . . . . [. . .]ε . . . [

# ΜΗΔΕΙΑ

ΤΡΟΦΟϹ

Εἴθ' ὤφελ' Ἀργοῦϲ μὴ διαπτάϲθαι ϲκάφοϲ
Κόλχων ἐϲ αἶαν κυανέαϲ Ϲυμπληγάδαϲ,
μηδ' ἐν νάπαιϲι Πηλίου πεϲεῖν ποτε
τμηθεῖϲα πεύκη, μηδ' ἐρετμῶϲαι χέραϲ
ἀνδρῶν ἀριϲτέων οἳ τὸ πάγχρυϲον δέροϲ
Πελίαι μετῆλθον. οὐ γὰρ ἂν δέϲποιν' ἐμὴ
Μήδεια πύργουϲ γῆϲ ἔπλευϲ' Ἰωλκίαϲ
ἔρωτι θυμὸν ἐκπλαγεῖϲ' Ἰάϲονοϲ·
οὐδ' ἂν κτανεῖν πείϲαϲα Πελιάδαϲ κόραϲ
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοιϲιν, ἁνδάνουϲα μὲν
†φυγῆι πολιτῶν† ὧν ἀφίκετο χθόνα
αὐτῶι τε πάντα ξυμφέρουϲ' Ἰάϲονι·
ἥπερ μεγίϲτη γίγνεται ϲωτηρία,
ὅταν γυνὴ πρὸϲ ἄνδρα μὴ διχοϲτατῆι.
νῦν δ' ἐχθρὰ πάντα καὶ νοϲεῖ τὰ φίλτατα.
προδοὺϲ γὰρ αὑτοῦ τέκνα δεϲπότιν τ' ἐμὴν
γάμοιϲ Ἰάϲων βαϲιλικοῖϲ εὐνάζεται,
γήμαϲ Κρέοντοϲ παῖδ', ὃϲ αἰϲυμνᾶι χθονόϲ.
Μήδεια δ' ἡ δύϲτηνοϲ ἠτιμαϲμένη

βοᾶι μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ' ἄσιτος, cῶμ' ὑφεῖc' ἀλγηδόσιν,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον
ἐπεὶ πρὸς ἀνδρὸς ἤισθετ' ἠδικημένη,
οὔτ' ὄμμ' ἐπαίρους' οὔτ' ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων,
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξηι φίλον
καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
μετ' ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρώιας μὴ ἀπολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας οὐδ' ὁρῶσ' εὐφραίνεται.
δέδοικα δ' αὐτὴν μή τι βουλεύσηι νέον·
[βαρεῖα γὰρ φρήν, οὐδ' ἀνέξεται κακῶς
πάσχους'· ἐγὦιδα τήνδε, δειμαίνω τέ νιν
μὴ θηκτὸν ὤσηι φάσγανον δι' ἥπατος,
σιγῆι δόμους ἐσβᾶσ' ἵν' ἔστρωται λέχος,
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνηι

κἄπειτα μείζω cυμφορὰν λάβηι τινά.]
δεινὴ γάρ· οὔτοι ῥαιδίως γε cυμβαλὼν
ἔχθραν τις αὐτῆι καλλίνικον ἄιcεται.
ἀλλ᾽ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
cτείχουcι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

ΠΑΙΔΑΓΩΓΟC

παλαιὸν οἴκων κτῆμα δεcποίνης ἐμῆς,
τί πρὸς πύλαιcι τήνδ᾽ ἄγουσ᾽ ἐρημίαν
ἕστηκας, αὐτὴ θρεομένη cαυτῆι κακά;
πῶς cοῦ μόνη Μήδεια λείπεcθαι θέλει;

Τρ. τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάcονος,
χρηcτοῖcι δούλοις ξυμφορὰ τὰ δεcποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται.
ἐγὼ γὰρ ἐς τοῦτ᾽ ἐκβέβηκ᾽ ἀλγηδόνος
ὥcθ᾽ ἵμερός μ᾽ ὑπῆλθε γῆι τε κοὐρανῶι
λέξαι μολούcηι δεῦρο δεcποίνης τύχας.

Πα. οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;

Τρ. ζηλῶ c᾽· ἐν ἀρχῆι πῆμα κοὐδέπω μεcοῖ.

Πα. ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
Τρ. τί δ' ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.
Πα. οὐδέν· μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
Τρ. μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·
σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.
Πα. ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτεροι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε
οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
Τρ. καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
Πα. παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
Τρ. ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῶι, πρὶν τόδ' ἐξηντληκέναι.
Πα. ἀτὰρ σύ γ', οὐ γὰρ καιρὸς εἰδέναι τόδε
δέσποιναν, ἡσύχαζε καὶ σίγα λόγον.
Τρ. ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν ἐς φίλους ἁλίσκεται.

Πα. τίς δ' οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
[οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,]
εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ;
Τρ. ἴτ', εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινι.
ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.

ΜΗΔΕΙΑ (ἔσωθεν)
ἰώ,
δύστανος ἐγὼ μελέα τε πόνων,
ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν;
Τρ. τόδ' ἐκεῖνο, φίλοι παῖδες· μήτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
σπεύδετε θᾶσσον δώματος εἴσω
καὶ μὴ πελάσητ' ὄμματος ἐγγὺς
μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσθ'
ἄγριον ἦθος στυγεράν τε φύσιν
φρενὸς αὐθαδοῦς.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/105 UNIVERSITÄT LEIPZIG

ἴτε νυν, χωρεῖθ᾽ ὡς τάχος εἴσω.
δῆλον ἀπ᾽ ἀρχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς ὡς τάχ᾽ ἀνάψει
μείζονι θυμῶι· τί ποτ᾽ ἐργάσεται
μεγαλόσπλαγχνος δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν;

Μη. αἰαῖ,
ἔπαθον τλάμων ἔπαθον μεγάλων
ἄξι᾽ ὀδυρμῶν. ὦ κατάρατοι
παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.

Τρ. ἰώ μοί μοι, ἰὼ τλήμων.
τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τούσδ᾽ ἔχθεις; οἴμοι,
τέκνα, μή τι πάθηθ᾽ ὡς ὑπεραλγῶ.
δεινὰ τυράννων λήματα καί πως
ὀλίγ᾽ ἀρχόμενοι, πολλὰ κρατοῦντες
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ᾽ ἴσοισιν
κρεῖσσον· ἐμοὶ γοῦν ἐπὶ μὴ μεγάλοις
ὀχυρῶς γ᾽ εἴη καταγηράσκειν.

τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾶι, χρῆϲθαί τε μακρῶι
λῶιϲτα βροτοῖϲιν· τὰ δ᾽ ὑπερβάλλοντ᾽
οὐδένα καιρὸν δύναται θνητοῖϲ,
μείζουϲ δ᾽ ἄταϲ, ὅταν ὀργιϲθῆι
δαίμων οἴκοιϲ, ἀπέδωκεν.

ΧΟΡΟϹ

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶϲ δυϲτάνου Κολχίδοϲ· οὐδέπω
ἤπιοϲ; ἀλλ᾽, ὦ γεραιά, λέξον.
ἀμφιπύλου γὰρ ἔϲω μελάθρου γόον
ἔκλυον, οὐδὲ ϲυνήδομαι, ὦ γύναι,
ἄλγεϲι δώματοϲ,
ἐπεί μοι φιλία κέκραται.

Τρ. οὐκ εἰϲὶ δόμοι· φροῦδα τάδ᾽ ἤδη.
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἡ δ᾽ ἐν θαλάμοιϲ τήκει βιοτὴν
δέϲποινα, φίλων οὐδενὸϲ οὐδὲν
παραθαλπομένη φρένα μύθοιϲ.

Μη. αἰαῖ,
διά μου κεφαλᾶc φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδοc;
φεῦ φεῦ· θανάτωι καταλυcαίμαν
βιοτὰν cτυγερὰν προλιποῦcα.

Χο. ἄιεc, ὦ Ζεῦ καὶ Γᾶ καὶ φῶc, [cτρ.
ἀχὰν οἵαν ἁ δύcτανοc
μέλπει νύμφα;
τίc coί ποτε τᾶc ἀπλάτου
κοίταc ἔροc, ὦ ματαία;
cπεύcειc θανάτου τελευτάν;
μηδὲν τόδε λίccου.
εἰ δὲ cὸc πόcιc καινὰ λέχη cεβίζει,
κείνωι τόδε μὴ χαράccου·
Ζεύc coι τάδε cυνδικήcει.
μὴ λίαν τάκου δυρομένα cὸν εὐνέταν.

Μη. ὦ μεγάλα Θέμι καὶ πότνι' Ἄρτεμι,
λεύccεθ' ἃ πάcχω, μεγάλοιc ὅρκοιc
ἐνδηcαμένα τὸν κατάρατον
πόcιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐcίδοιμ'
αὐτοῖc μελάθροιc διακναιομένουc,
οἵ' ἐμὲ πρόcθεν τολμῶc' ἀδικεῖν.

ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς τὸν ἐμὸν κτείνασα κάσιν.

Τρ. κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνητοῖς ταμίας νενόμισται;
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῶι
δέσποινα χόλον καταπαύσει.

Χο. πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν [ἀντ.
ἔλθοι μύθων τ' αὐδαθέντων
δέξαιτ' ὀμφάν,
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη;
μήτοι τό γ' ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά νιν δεῦρο πόρευσον οἴκων
ἔξω· φίλα καὶ τάδ' αὔδα,
σπεύσασά τι πρὶν κακῶσαι
τοὺς ἔσω· πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.

Τρ. δράσω τάδ'· ἀτὰρ φόβος εἰ πείσω
δέσποιναν ἐμήν·
μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.

καίτοι τοκάδοϲ δέργμα λεαίνηϲ
ἀποταυροῦται δμωϲίν, ὅταν τιϲ
μῦθον προφέρων πέλαϲ ὁρμηθῆι.
ϲκαιοὺϲ δὲ λέγων κοὐδέν τι ϲοφοὺϲ
τοὺϲ πρόϲθε βροτοὺϲ οὐκ ἂν ἁμάρτοιϲ,
οἵτινεϲ ὕμνουϲ ἐπὶ μὲν θαλίαιϲ
ἐπί τ' εἰλαπίναιϲ καὶ παρὰ δείπνοιϲ
ηὕροντο βίωι τερπνὰϲ ἀκοάϲ·
ϲτυγίουϲ δὲ βροτῶν οὐδεὶϲ λύπαϲ
ηὕρετο μούϲηι καὶ πολυχόρδοιϲ
ὠιδαῖϲ παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι ϲφάλλουϲι δόμουϲ.
καίτοι τάδε μὲν κέρδοϲ ἀκεῖϲθαι
μολπαῖϲι βροτούϲ· ἵνα δ' εὔδειπνοι
δαῖτεϲ, τί μάτην τείνουϲι βοήν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
δαιτὸϲ πλήρωμα βροτοῖϲιν.

*Χο.* ἀχὰν ἄιον πολύϲτονον γόων,
λιγυρὰ δ' ἄχεα μογερὰ βοᾶι
τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ' ἄδικα παθοῦϲα
τὰν Ζηνὸϲ ὁρκίαν Θέμιν, ἅ νιν ἔβαϲεν
Ἑλλάδ' ἐϲ ἀντίπορον

δι' ἅλα νύχιον ἐφ' ἁλμυρὰν
Πόντου κλῇιδ' ἀπεράντου.

Μη. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων
μή μοί τι μέμψηcθ'· οἶδα γὰρ πολλοὺc βροτῶν
cεμνοὺc γεγῶταc, τοὺc μὲν ὀμμάτων ἄπο,
τοὺc δ' ἐν θυραίοιc· οἱ δ' ἀφ' ἡcύχου ποδὸc
δύcκλειαν ἐκτήcαντο καὶ ῥαιθυμίαν.
δίκη γὰρ οὐκ ἔνεcτ' ἐν ὀφθαλμοῖc βροτῶν,
ὅcτιc πρὶν ἀνδρὸc cπλάγχνον ἐκμαθεῖν caφῶc
cτυγεῖ δεδορκώc, οὐδὲν ἠδικημένοc.
χρὴ δὲ ξένον μὲν κάρτα προcχωρεῖν πόλει·
οὐδ' ἀcτὸν ᾔνεc' ὅcτιc αὐθαδὴc γεγὼc
πικρὸc πολίταιc ἐcτὶν ἀμαθίαc ὕπο.
ἐμοὶ δ' ἄελπτον πρᾶγμα προcπεcὸν τόδε
ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖcα κατθανεῖν χρῄζω, φίλαι.
ἐν ὧι γὰρ ἦν μοι πάντα, γιγνώcκω καλῶc,
κάκιcτοc ἀνδρῶν ἐκβέβηχ' οὑμὸc πόcιc.
πάντων δ' ὅc' ἔcτ' ἔμψυχα καὶ γνώμην ἔχει
γυναῖκέc ἐcμεν ἀθλιώτατον φυτόν·

ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῆι
πόσιν πρίασθαι δεσπότην τε σώματος
λαβεῖν· κακοῦ γὰρ τοῦτ' ἔτ' ἄλγιον κακόν.
κἀν τῶιδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν
ἢ χρηστόν· οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
γυναιξὶν οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
ἐς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
οἵωι μάλιστα χρήσεται ξυνευνέτηι.
κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
πόσις ξυνοικῆι μὴ βίαι φέρων ζυγόν,
ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χρεών.
ἀνὴρ δ', ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης
[ἢ πρὸς φίλον τιν' ἢ πρὸς ἥλικα τραπείς]·
ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί,
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ' ἀσπίδα
στῆναι θέλοιμ' ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.
ἀλλ' οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος·
σοὶ μὲν πόλις θ' ἥδ' ἐστὶ καὶ πατρὸς δόμοι
βίου τ' ὄνησις καὶ φίλων συνουσία,

ἐγὼ δ' ἔρημος ἄπολις οὖς' ὑβρίζομαι
πρὸς ἀνδρός, ἐκ γῆς βαρβάρου λεληισμένη,
οὐ μητέρ', οὐκ ἀδελφόν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ' ἐξευρεθῆι
πόσιν δίκην τῶνδ' ἀντιτείσασθαι κακῶν
[τὸν δόντα τ' αὐτῶι θυγατέρ' ἥν τ' ἐγήματο],
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα
κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῆι,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
Χο. δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτείσηι πόσιν,
Μήδεια. πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
ὁρῶ δὲ καὶ Κρέοντα, τῆσδ' ἄνακτα γῆς,
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

ΚΡΕΩΝ

σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδει', ἀνεῖπον τῆσδε γῆς ἔξω περᾶν
φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῆι τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμί, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
Μη. αἰαῖ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι·
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,

κοὐκ ἔϲτιν ἄτηϲ εὐπρόϲοιϲτοϲ ἔκβαϲιϲ.
ἐρήϲομαι δὲ καὶ κακῶϲ πάϲχουϲ’ ὅμωϲ·
τίνοϲ μ’ ἕκατι γῆϲ ἀποϲτέλλειϲ, Κρέον;

Κρ. δέδοικά ϲ’, οὐδὲν δεῖ παραμπίϲχειν λόγουϲ,
μή μοί τι δράϲηιϲ παῖδ’ ἀνήκεϲτον κακόν.
ϲυμβάλλεται δὲ πολλὰ τοῦδε δείγματα·
ϲοφὴ πέφυκαϲ καὶ κακῶν πολλῶν ἴδριϲ,
λυπῆι δὲ λέκτρων ἀνδρὸϲ ἐϲτερημένη.
κλύω δ’ ἀπειλεῖν ϲ’, ὡϲ ἀπαγγέλλουϲί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράϲειν τι. ταῦτ’ οὖν πρὶν παθεῖν φυλάξομαι.
κρεῖϲϲον δέ μοι νῦν πρὸϲ ϲ’ ἀπεχθέϲθαι, γύναι,
ἢ μαλθακιϲθένθ’ ὕϲτερον μεταϲτένειν.

Μη. φεῦ φεῦ.
οὐ νῦν με πρῶτον ἀλλὰ πολλάκιϲ, Κρέον,
ἔβλαψε δόξα μεγάλα τ’ εἴργαϲται κακά.
χρὴ δ’ οὔποθ’ ὅϲτιϲ ἀρτίφρων πέφυκ’ ἀνὴρ
παῖδαϲ περιϲϲῶϲ ἐκδιδάϲκεϲθαι ϲοφούϲ·
χωρὶϲ γὰρ ἄλληϲ ἧϲ ἔχουϲιν ἀργίαϲ
φθόνον πρὸϲ ἀϲτῶν ἀλφάνουϲι δυϲμενῆ.
ϲκαιοῖϲι μὲν γὰρ καινὰ προϲφέρων ϲοφὰ

δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ᾽ αὖ δοκούντων εἰδέναι τι ποικίλον
κρείςςων νομιςθεὶς ἐν πόλει λυπρὸς φανῆι.
ἐγὼ δὲ καὐτὴ τῆςδε κοινωνῶ τύχης·
σοφὴ γὰρ οὖςα, τοῖς μέν εἰμ᾽ ἐπίφθονος,
[τοῖς δ᾽ ἡςυχαία, τοῖς δὲ θατέρου τρόπου,]
τοῖς δ᾽ αὖ προςάντης· εἰμὶ δ᾽ οὐκ ἄγαν σοφή.
cὺ δ᾽ οὖν φοβῆι με· μὴ τί πλημμελὲς πάθηις;
οὐχ ὧδ᾽ ἔχει μοι, μὴ τρέςηις ἡμᾶς, Κρέον,
ὥςτ᾽ ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
cὺ γὰρ τί μ᾽ ἠδίκηκας; ἐξέδου κόρην
ὅτωι cε θυμὸς ἦγεν. ἀλλ᾽ ἐμὸν πόςιν
μιςῶ· cὺ δ᾽, οἶμαι, ςωφρονῶν ἔδρας τάδε.
καὶ νῦν τὸ μὲν cὸν οὐ φθονῶ καλῶς ἔχειν·
νυμφεύετ᾽, εὖ πράςςοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ᾽ οἰκεῖν. καὶ γὰρ ἠδικημένοι
ςιγηςόμεςθα, κρειςςόνων νικώμενοι.
Κρ. λέγεις ἀκοῦςαι μαλθάκ᾽, ἀλλ᾽ ἔςω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύηις κακόν.
τοςῶιδε δ᾽ ἧςςον ἢ πάρος πέποιθά cοι·
γυνὴ γὰρ ὀξύθυμος, ὡς δ᾽ αὔτως ἀνήρ,
ῥάιων φυλάςςειν ἢ ςιωπηλὸς σοφή.

ἀλλ' ἔξιθ' ὡϲ τάχιϲτα, μὴ λόγουϲ λέγε·
ὡϲ ταῦτ' ἄραρε κοὐκ ἔχειϲ τέχνην ὅπωϲ
μενεῖϲ παρ' ἡμῖν οὖϲα δυϲμενὴϲ ἐμοί.
Μη. μή, πρόϲ ϲε γονάτων τῆϲ τε νεογάμου κόρηϲ.
Κρ. λόγουϲ ἀναλοῖϲ· οὐ γὰρ ἂν πείϲαιϲ ποτέ.
Μη. ἀλλ' ἐξελᾶιϲ με κοὐδὲν αἰδέϲηι λιτάϲ;
Κρ. φιλῶ γὰρ οὐ ϲὲ μᾶλλον ἢ δόμουϲ ἐμούϲ.
Μη. ὦ πατρίϲ, ὥϲ ϲου κάρτα νῦν μνείαν ἔχω.
Κρ. πλὴν γὰρ τέκνων ἔμοιγε φίλτατον πολύ.
Μη. φεῦ φεῦ, βροτοῖϲ ἔρωτεϲ ὡϲ κακὸν μέγα.
Κρ. ὅπωϲ ἄν, οἶμαι, καὶ παραϲτῶϲιν τύχαι.
Μη. Ζεῦ, μὴ λάθοι ϲε τῶνδ' ὃϲ αἴτιοϲ κακῶν.
Κρ. ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
Μη. †πονοῦμεν ἡμεῖϲ κοὐ πόνων κεχρήμεθα.†
Κρ. τάχ' ἐξ ὀπαδῶν χειρὸϲ ὠϲθήϲηι βίαι.
Μη. μὴ δῆτα τοῦτό γ', ἀλλά ϲ' ἄντομαι, Κρέον.
Κρ. ὄχλον παρέξειϲ, ὡϲ ἔοικαϲ, ὦ γύναι.
Μη. φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευϲά ϲου τυχεῖν.
Κρ. τί δ' αὖ βιάζηι κοὐκ ἀπαλλάϲϲηι χερόϲ;
Μη. μίαν με μεῖναι τήνδ' ἔαϲον ἡμέραν
καὶ ξυμπερᾶναι φροντίδ' ἧι φευξούμεθα
παιϲίν τ' ἀφορμὴν τοῖϲ ἐμοῖϲ, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾶι μηχανήϲαϲθαι τέκνοιϲ.
οἴκτιρε δ' αὐτούϲ· καὶ ϲύ τοι παίδων πατὴρ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/116 UNIVERSITÄT LEIPZIG

πέφυκας· εἰκὸς δέ σφιν εὔνοιάν σ᾿ ἔχειν.
τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω συμφορᾶι κεχρημένους.

Κρ. ἥκιστα τοὐμὸν λῆμ᾿ ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
ὅμως δὲ τεύξηι τοῦδε. προυννέπω δέ σοι,
εἴ σ᾿ ἡ ᾽πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανῆι· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
[νῦν δ᾿, εἰ μένειν δεῖ, μίμν᾿ ἐφ᾿ ἡμέραν μίαν·
οὐ γάρ τι δράσεις δεινὸν ὧν φόβος μ᾿ ἔχει.]

Χο. φεῦ φεῦ, μελέα τῶν σῶν ἀχέων,
δύστηνε γύναι,
ποῖ ποτε τρέψηι; τίνα πρὸς ξενίαν
ἢ δόμον ἢ χθόνα σωτῆρα κακῶν
[ἐξευρήσεις];
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσεν.

Μη. κακῶς πέπρακται πανταχῆι· τίς ἀντερεῖ;
ἀλλ᾿ οὔτι ταύτηι ταῦτα, μὴ δοκεῖτέ πω.
ἔτ᾿ εἴσ᾿ ἀγῶνες τοῖς νεωστὶ νυμφίοις
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.

δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτε
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
οὐδ' ἂν προσεῖπον οὐδ' ἂν ἡψάμην χεροῖν.
ὁ δ' ἐς τοσοῦτον μωρίας ἀφίκετο
ὥστ', ἐξὸν αὐτῶι τἄμ' ἑλεῖν βουλεύματα
γῆς ἐκβαλόντι, τήνδ' ἐφῆκεν ἡμέραν
μεῖναί μ', ἐν ἧι τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν.
πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,
οὐκ οἶδ' ὁποίαι πρῶτον ἐγχειρῶ, φίλαι·
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
σιγῆι δόμους ἐσβᾶσ' ἵν' ἔστρωται λέχος.
ἀλλ' ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τὴν εὐθεῖαν, ἧι πεφύκαμεν
σοφοὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.
εἶέν·
καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῆι,
δόλωι μέτειμι τόνδε καὶ σιγῆι φόνον·
ἢν δ' ἐξελαύνηι ξυμφορά μ' ἀμήχανος,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,

κτενῶ ϲφε, τόλμηϲ δ' εἶμι πρὸϲ τὸ καρτερόν.
οὐ γὰρ μὰ τὴν δέϲποιναν ἣν ἐγὼ ϲέβω
μάλιϲτα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖϲ ναίουϲαν ἑϲτίαϲ ἐμῆϲ,
χαίρων τιϲ αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
πικροὺϲ δ' ἐγώ ϲφιν καὶ λυγροὺϲ θήϲω γάμουϲ,
πικρὸν δὲ κῆδοϲ καὶ φυγὰϲ ἐμὰϲ χθονόϲ.
ἀλλ' εἶα φείδου μηδὲν ὧν ἐπίϲταϲαι,
Μήδεια, βουλεύουϲα καὶ τεχνωμένη·
ἕρπ' ἐϲ τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίαϲ.
ὁρᾶιϲ ἃ πάϲχειϲ; οὐ γέλωτα δεῖ ϲ' ὀφλεῖν
τοῖϲ Ϲιϲυφείοιϲ τοῖϲδ' Ἰάϲονοϲ γάμοιϲ,
γεγῶϲαν ἐϲθλοῦ πατρὸϲ Ἡλίου τ' ἄπο.
ἐπίϲταϲαι δέ· πρὸϲ δὲ καὶ πεφύκαμεν
γυναῖκεϲ, ἐϲ μὲν ἔϲθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονεϲ ϲοφώταται.

Χο. ἄνω ποταμῶν ἱερῶν χωροῦϲι παγαί, [ϲτρ. α
καὶ δίκα καὶ πάντα πάλιν ϲτρέφεται·
ἀνδράϲι μὲν δόλιαι βουλαί, θεῶν δ'
οὐκέτι πίϲτιϲ ἄραρεν.
τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν ϲτρέψουϲι
φᾶμαι·
ἔρχεται τιμὰ γυναικείωι γένει·
οὐκέτι δυϲκέλαδοϲ φάμα γυναῖκαϲ ἕξει.

μοῦcαι δὲ παλαιγενέων λήξουc' ἀοιδῶν [ἀντ. α
τὰν ἐμὰν ὑμνεῦcαι ἀπιcτοcύναν.
οὐ γὰρ ἐν ἁμετέραι γνώμαι λύραc
ὤπαcε θέcπιν ἀοιδὰν
Φοῖβοc ἁγήτωρ μελέων· ἐπεὶ ἀντάχηc' ἂν ὕμνον
ἀρcένων γένναι. μακρὸc δ' αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.

cὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευcαc [cτρ. β
μαινομέναι κραδίαι, διδύμουc ὁρίcαcα πόντου
πέτραc· ἐπὶ δὲ ξέναι
ναίειc χθονί, τᾶc ἀνάν-
δρου κοίταc ὀλέcαcα λέκ-
τρον, τάλαινα, φυγὰc δὲ χώ-
ραc ἄτιμοc ἐλαύνηι.

βέβακε δ' ὅρκων χάριc, οὐδ' ἔτ' αἰδὼc [ἀντ. β
Ἑλλάδι τᾶι μεγάλαι μένει, αἰθερία δ' ἀνέπτα.
cοὶ δ' οὔτε πατρὸc δόμοι,
δύcτανε, μεθορμίcα-
cθαι μόχθων πάρα, cῶν τε λέκ-



UNIVERSITÄTS-BIBLIOTHEK LEIPZIG

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/120 UNIVERSITÄT LEIPZIG

τρων ἄλλα βαςίλεια κρείς-
ςων δόμοιςιν ἐπέςτα.

ΙΑCΩΝ

οὐ νῦν κατεῖδον πρῶτον ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
ςοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν
κούφως φερούςηι κρειςςόνων βουλεύματα,
λόγων ματαίων οὕνεκ᾽ ἐκπεςῆι χθονός.
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύςηι ποτὲ
λέγους᾽ Ἰάςον᾽ ὡς κάκιςτός ἐςτ᾽ ἀνήρ.
ἃ δ᾽ ἐς τυράννους ἐςτί ςοι λελεγμένα,
πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῆι.
κἀγὼ μὲν αἰεὶ βαςιλέων θυμουμένων
ὀργὰς ἀφῄρουν καί ς᾽ ἐβουλόμην μένειν·
ςὺ δ᾽ οὐκ ἀνίεις μωρίας, λέγους᾽ ἀεὶ
κακῶς τυράννους· τοιγὰρ ἐκπεςῆι χθονός.
ὅμως δὲ κἀκ τῶνδ᾽ οὐκ ἀπειρηκὼς φίλοις
ἥκω, τὸ ςὸν δὲ προςκοπούμενος, γύναι,
ὡς μήτ᾽ ἀχρήμων ςὺν τέκνοιςιν ἐκπέςηις
μήτ᾽ ἐνδεής του· πόλλ᾽ ἐφέλκεται φυγὴ
κακὰ ξὺν αὑτῆι. καὶ γὰρ εἰ ςύ με ςτυγεῖς,
οὐκ ἂν δυναίμην ςοὶ κακῶς φρονεῖν ποτε.

Μη. ὦ παγκάκιςτε, τοῦτο γάρ ς᾽ εἰπεῖν ἔχω
γλώςςηι μέγιςτον εἰς ἀνανδρίαν κακόν·
ἦλθες πρὸς ἡμᾶς, ἦλθες ἔχθιςτος γεγώς
[θεοῖς τε κἀμοὶ παντί τ᾽ ἀνθρώπων γένει];

οὔτοι θράσος τόδ' ἐστὶν οὐδ' εὐτολμία,
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών·
ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
ψυχὴν κακῶς σε καὶ σὺ λυπήσῃ κλύων.
ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν·
ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταὐτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
ζεύγλαισι καὶ σπεροῦντα θανάσιμον γύην·
δράκοντά θ', ὃς πάγχρυσον ἀμπέχων δέρος
σπείραις ἔσῳζε πολυπλόκοις ἄυπνος ὤν,
κτείνασ' ἀνέσχον σοι φάος σωτήριον.
αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς
τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα·
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν,
παίδων ὕπ' αὐτοῦ, πάντα τ' ἐξεῖλον δόμον.
καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν
προὔδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,
παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
συγγνώστ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους.
ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
εἰ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι

ἢ καινὰ κεῖcθαι θέcμι' ἀνθρώποιc τὰ νῦν,
ἐπεὶ cύνοιcθά γ' εἰc ἔμ' οὐκ εὔορκοc ὤν.
φεῦ δεξιὰ χείρ, ἧc cὺ πόλλ' ἐλαμβάνου,
καὶ τῶνδε γονάτων, ὡc μάτην κεχρώιcμεθα
κακοῦ πρὸc ἀνδρόc, ἐλπίδων δ' ἡμάρτομεν.
ἄγ', ὡc φίλωι γὰρ ὄντι cοι κοινώcομαι
(δοκοῦcα μὲν τί πρόc γε cοῦ πράξειν καλῶc;
ὅμωc δ', ἐρωτηθεὶc γὰρ αἰcχίων φανῆι)·
νῦν ποῖ τράπωμαι; πότερα πρὸc πατρὸc δόμουc,
οὓc cοὶ προδοῦcα καὶ πάτραν ἀφικόμην;
ἢ πρὸc ταλαίναc Πελιάδαc; καλῶc γ' ἂν οὖν
δέξαιντό μ' οἴκοιc ὧν πατέρα κατέκτανον.
ἔχει γὰρ οὕτω· τοῖc μὲν οἴκοθεν φίλοιc
ἐχθρὰ καθέcτηχ', οὓc δέ μ' οὐκ ἐχρῆν κακῶc
δρᾶν, cοὶ χάριν φέρουcα πολεμίουc ἔχω.
τοιγάρ με πολλαῖc μακαρίαν Ἑλληνίδων
ἔθηκαc ἀντὶ τῶνδε· θαυμαcτὸν δέ cε
ἔχω πόcιν καὶ πιcτὸν ἡ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημοc, cὺν τέκνοιc μόνη μόνοιc·
καλόν γ' ὄνειδοc τῶι νεωcτὶ νυμφίωι,
πτωχοὺc ἀλᾶcθαι παῖδαc ἥ τ' ἔcωcά cε.

ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ἦι
τεκμήρι᾽ ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ᾽ ὅτωι χρὴ τὸν κακὸν διειδέναι
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

Χο. δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλως᾽ ἔριν.

Ια. δεῖ μ᾽, ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
ἀλλ᾽ ὥστε ναὸς κεδνὸν οἰακοστρόφον
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
ἐγὼ δ᾽, ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
σοὶ δ᾽ ἔστι μὲν νοῦς λεπτός· ἀλλ᾽ ἐπίφθονος
λόγος διελθεῖν ὡς Ἔρως σ᾽ ἠνάγκασεν
τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.
ἀλλ᾽ οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
ὅπηι γὰρ οὖν ὤνησας οὐ κακῶς ἔχει.
μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
εἴληφας ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
πρῶτον μὲν Ἑλλάδ᾽ ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς καὶ δίκην ἐπίστασαι
νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν·
πάντες δέ σ᾽ ἤισθοντ᾽ οὖσαν Ἕλληνες σοφὴν
καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ᾽ ἐσχάτοις
ὅροισιν ὤικεις, οὐκ ἂν ἦν λόγος σέθεν.
εἴη δ᾽ ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις

μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προύθηκας λόγων.
ἃ δ' ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,
ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,
ἔπειτα σώφρων, εἶτά σοι μέγας φίλος
καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.
ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς
πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
τί τοῦδ' ἂν εὕρημ' ηὗρον εὐτυχέστερον
ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
οὐχ, ᾗι σὺ κνίζηι, σὸν μὲν ἐχθαίρων λέχος
καινῆς δὲ νύμφης ἱμέρωι πεπληγμένος
οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
ἅλις γὰρ οἱ γεγῶτες οὐδὲ μέμφομαι·
ἀλλ' ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι
πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλον,
παῖδας δὲ θρέψαιμ' ἀξίως δόμων ἐμῶν
σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
ἐς ταὐτὸ θείην καὶ ξυναρτήσας γένος
εὐδαιμονοίην· σοί τε γὰρ παίδων τί δεῖ;
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/125 UNIVERSITÄT LEIPZIG

τὰ ζῶντ' ὀνῆϲαι. μῶν βεβούλευμαι κακῶϲ;
οὐδ' ἂν cὺ φαίηϲ, εἴ ϲε μὴ κνίζοι λέχοϲ.
ἀλλ' ἐϲ τοϲοῦτον ἥκεθ' ὥϲτ' ὀρθουμένηϲ
εὐνῆϲ γυναῖκεϲ πάντ' ἔχειν νομίζετε,
ἢν δ' αὖ γένηται ξυμφορά τιϲ ἐϲ λέχοϲ,
τὰ λῷϲτα καὶ κάλλιϲτα πολεμιώτατα
τίθεϲθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺϲ
παῖδαϲ τεκνοῦϲθαι, θῆλυ δ' οὐκ εἶναι γένοϲ·
χοὔτωϲ ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποιϲ κακόν.

*Χο.* Ἰᾶϲον, εὖ μὲν τούϲδ' ἐκόϲμηϲαϲ λόγουϲ·
ὅμωϲ δ' ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
δοκεῖϲ προδοὺϲ ϲὴν ἄλοχον οὐ δίκαια δρᾶν.

*Μη.* ἦ πολλὰ πολλοῖϲ εἰμι διάφοροϲ βροτῶν.
ἐμοὶ γὰρ ὅϲτιϲ ἄδικοϲ ὢν ϲοφὸϲ λέγειν
πέφυκε, πλείϲτην ζημίαν ὀφλιϲκάνει·
γλώϲϲηι γὰρ αὐχῶν τἄδικ' εὖ περιϲτελεῖν
τολμᾶι πανουργεῖν· ἔϲτι δ' οὐκ ἄγαν ϲοφόϲ.
ὡϲ καὶ ϲύ· μή νυν εἰϲ ἔμ' εὐϲχήμων γένηι
λέγειν τε δεινόϲ· ἓν γὰρ ἐκτενεῖ ϲ' ἔποϲ.
χρῆν ϲ', εἴπερ ἦϲθα μὴ κακόϲ, πείϲαντά με
γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ ϲιγῆι φίλων.

*Ια.* καλῶϲ γ' ἄν, οἶμαι, τῶιδ' ὑπηρέτειϲ λόγωι,
εἴ ϲοι γάμον κατεῖπον, ἥτιϲ οὐδὲ νῦν

τολμᾶις μεθεῖναι καρδίας μέγαν χόλον.
*Μη.* οὐ τοῦτό c᾽ εἶχεν, ἀλλὰ βάρβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ coι.
*Ια.* εὖ νυν τόδ᾽ ἴcθι, μὴ γυναικὸc οὕνεκα
γῆμαί με λέκτρα βαcιλέων ἃ νῦν ἔχω,
ἀλλ᾽, ὥcπερ εἶπον καὶ πάροc, cῶcαι θέλων
cέ, καὶ τέκνοιcι τοῖc ἐμοῖc ὁμοcπόρουc
φῦcαι τυράννουc παῖδαc, ἔρυμα δώμαcιν.
*Μη.* μή μοι γένοιτο λυπρὸc εὐδαίμων βίοc
μηδ᾽ ὄλβοc ὅcτιc τὴν ἐμὴν κνίζοι φρένα.
*Ια.* οἶcθ᾽ ὡc μέτευξαι καὶ cοφωτέρα φανῆι·
τὰ χρηcτὰ μή coι λυπρὰ φαίνεcθαί ποτε,
μηδ᾽ εὐτυχοῦcα δυcτυχὴc εἶναι δοκεῖν.
*Μη.* ὕβριζ᾽, ἐπειδὴ coὶ μὲν ἔcτ᾽ ἀποcτροφή,
ἐγὼ δ᾽ ἔρημοc τήνδε φευξοῦμαι χθόνα.
*Ια.* αὐτὴ τάδ᾽ εἵλου· μηδέν᾽ ἄλλον αἰτιῶ.
*Μη.* τί δρῶcα; μῶν γαμοῦcα καὶ προδοῦcά cε;
*Ια.* ἀρὰc τυράννοιc ἀνοcίουc ἀρωμένη.
*Μη.* καὶ coῖc ἀραία γ᾽ οὖcα τυγχάνω δόμοιc.
*Ια.* ὡc οὐ κρινοῦμαι τῶνδέ coι τὰ πλείονα.
ἀλλ᾽, εἴ τι βούληι παιcὶν ἢ cαυτῆι φυγῆc
προcωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ᾽· ὡc ἕτοιμοc ἀφθόνωι δοῦναι χερὶ
ξένοιc τε πέμπειν cύμβολ᾽, οἳ δράcουcί c᾽ εὖ.
καὶ ταῦτα μὴ θέλουcα μωρανεῖc, γύναι·
λήξαcα δ᾽ ὀργῆc κερδανεῖc ἀμείνονα.

Μη. οὔτ' ἂν ξένοιcι τοῖcι coῖc χρηcαίμεθ' ἂν
οὔτ' ἄν τι δεξαίμεcθα, μηδ' ἡμῖν δίδου·
κακοῦ γὰρ ἀνδρὸc δῶρ' ὄνηcιν οὐκ ἔχει.

Ια. ἀλλ' οὖν ἐγὼ μὲν δαίμοναc μαρτύρομαι
ὡc πάνθ' ὑπουργεῖν coί τε καὶ τέκνοιc θέλω·
coὶ δ' οὐκ ἀρέcκει τἀγάθ', ἀλλ' αὐθαδίαι
φίλουc ἀπωθῆι· τοιγὰρ ἀλγυνῆι πλέον.

Μη. χώρει· πόθωι γὰρ τῆc νεοδμήτου κόρηc
αἱρῆι χρονίζων δωμάτων ἐξώπιοc.
νύμφευ'· ἴcωc γάρ, cὺν θεῶι δ' εἰρήcεται,
γαμεῖc τοιοῦτον ὥcτε θρηνεῖcθαι γάμον.

Χο. ἔρωτεc ὑπὲρ μὲν ἄγαν ἐλθόντεc οὐκ εὐδοξίαν [cτρ. α
οὐδ' ἀρετὰν παρέδωκαν ἀνδράcιν· εἰ δ' ἅλιc
ἔλθοι
Κύπριc, οὐκ ἄλλα θεὸc εὔχαριc οὕτω.
μήποτ', ὦ δέcποιν', ἐπ' ἐμοὶ χρυcέων τόξων ἀφείηc
ἱμέρωι χρίcαc' ἄφυκτον οἰcτόν.

cτέργοι δέ με cωφροcύνα, δώρημα κάλλιcτον
θεῶν· [ἀντ. α
μηδέ ποτ' ἀμφιλόγουc ὀργὰc ἀκόρεcτά τε νείκη
θυμὸν ἐκπλήξαc' ἑτέροιc ἐπὶ λέκτροιc
προcβάλοι δεινὰ Κύπριc, ἀπτολέμουc δ' εὐνὰc cεβίζουc'

*ὀξύφρων κρίνοι λέχη γυναικῶν.*

*ὦ πατρίς, ὦ δώματα, μὴ* [*στρ. β*
*δῆτ' ἄπολις γενοίμαν*
*τὸν ἀμηχανίας ἔχουσα δυσπέρατον αἰῶν',*
*οἰκτρότατον ἀχέων.*
*θανάτωι θανάτωι πάρος δαμείην*
*ἁμέραν τάνδ' ἐξανύσα-*
*σα· μόχθων δ' οὐκ ἄλλος ὕπερ-*
*θεν ἢ γᾶς πατρίας στέρεσθαι.*

*εἴδομεν, οὐκ ἐξ ἑτέρων* [*ἀντ. β*
*μῦθον ἔχω φράσασθαι·*
*σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις οἰκτιρεῖ παθοῦσαν*
*δεινότατα παθέων.*
*ἀχάριστος ὄλοιθ' ὅτωι πάρεστιν*
*μὴ φίλους τιμᾶν καθαρὰν*
*ἀνοίξαντα κλῆιδα φρενῶν·*
*ἐμοὶ μὲν φίλος οὔποτ' ἔσται.*

*ΑΙΓΕΥϹ*

*Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον*
*κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλους.*

*Μη.* *ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος,*
*Αἰγεῦ. πόθεν γῆς τῆσδ' ἐπιστρωφᾶι πέδον;*

Αι. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
Μη. τί δ' ὀμφαλὸν γῆς θεσπιωιδὸν ἐστάλης;
Αι. παίδων ἐρευνῶν σπέρμ' ὅπως γένοιτό μοι.
Μη. πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
Αι. ἄπαιδές ἐσμεν δαίμονός τινος τύχηι.
Μη. δάμαρτος οὔσης ἢ λέχους ἄπειρος ὤν;
Αι. οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
Μη. τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
Αι. σοφώτερ' ἢ κατ' ἄνδρα συμβαλεῖν ἔπη.
Μη. θέμις μὲν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
Αι. μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
Μη. τί δῆτ' ἔχρησε; λέξον, εἰ θέμις κλύειν.
Αι. ἀσκοῦ με τὸν προύχοντα μὴ λῦσαι πόδα...
Μη. πρὶν ἂν τί δράσηις ἢ τίν' ἐξίκηι χθόνα;
Αι. πρὶν ἂν πατρώιαν αὖθις ἑστίαν μόλω.
Μη. σὺ δ' ὡς τί χρήιζων τήνδε ναυστολεῖς χθόνα;
Αι. Πιτθεύς τις ἔστι, γῆς ἄναξ Τροζηνίας.
Μη. παῖς, ὡς λέγουσι, Πέλοπος, εὐσεβέστατος.
Αι. τούτωι θεοῦ μάντευμα κοινῶσαι θέλω.
Μη. σοφὸς γὰρ ἀνὴρ καὶ τρίβων τὰ τοιάδε.
Αι. κἀμοί γε πάντων φίλτατος δορυξένων.
Μη. ἀλλ' εὐτυχοίης καὶ τύχοις ὅσων ἐρᾶις.
Αι. τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ' ὅδε;
Μη. Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις.
Αι. τί φήις; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
Μη. ἀδικεῖ μ' Ἰάσων οὐδὲν ἐξ ἐμοῦ παθών.
Αι. τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
Μη. γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.

Αι. οὔ που τετόλμηκ᾽ ἔργον αἴςχιστον τόδε;
Μη. cάφ᾽ ἴcθ᾽· ἄτιμοι δ᾽ ἐcμὲν οἱ πρὸ τοῦ φίλοι.
Αι. πότερον ἐραcθεὶc ἢ cὸν ἐχθαίρων λέχοc;
Μη. μέγαν γ᾽ ἔρωτα· πιcτὸc οὐκ ἔφυ φίλοιc.
Αι. ἴτω νυν, εἴπερ, ὡc λέγειc, ἐcτὶν κακόc.
Μη. ἀνδρῶν τυράννων κῆδοc ἠράcθη λαβεῖν.
Αι. δίδωcι δ᾽ αὐτῶι τίc; πέραινέ μοι λόγον.
Μη. Κρέων, ὃc ἄρχει τῆcδε γῆc Κορινθίαc.
Αι. cυγγνωcτὰ μένταρ᾽ ἦν cε λυπεῖcθαι, γύναι.
Μη. ὄλωλα· καὶ πρόc γ᾽ ἐξελαύνομαι χθονόc.
Αι. πρὸc τοῦ; τόδ᾽ ἄλλο καινὸν αὖ λέγειc κακόν.
Μη. Κρέων μ᾽ ἐλαύνει φυγάδα γῆc Κορινθίαc.
Αι. ἐᾶι δ᾽ Ἰάcων; οὐδὲ ταῦτ᾽ ἐπῄνεcα.
Μη. λόγωι μὲν οὐχί, καρτερεῖν δὲ βούλεται.
ἀλλ᾽ ἄντομαί cε τῆcδε πρὸc γενειάδοc
γονάτων τε τῶν cῶν ἱκεcία τε γίγνομαι,
οἴκτιρον οἴκτιρόν με τὴν δυcδαίμονα
καὶ μή μ᾽ ἔρημον ἐκπεcοῦcαν εἰcίδηιc,
δέξαι δὲ χώραι καὶ δόμοιc ἐφέcτιον.
οὕτωc ἔρωc cοι πρὸc θεῶν τελεcφόροc
γένοιτο παίδων καὐτὸc ὄλβιοc θάνοιc.
εὕρημα δ᾽ οὐκ οἶcθ᾽ οἷον ηὕρηκαc τόδε·
παύcω γέ c᾽ ὄντ᾽ ἄπαιδα καὶ παίδων γονὰc
cπεῖραί cε θήcω· τοιάδ᾽ οἶδα φάρμακα.
Αι. πολλῶν ἕκατι τήνδε cοι δοῦναι χάριν,

γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν,
ἔπειτα παίδων ὧν ἐπαγγέλληι γονάς·
ἐς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
οὕτω δ' ἔχει μοι· coῦ μὲν ἐλθούςης χθόνα,
πειράcομαί cου προξενεῖν δίκαιος ὤν.
[τοcόνδε μέντοι coι προcημαίνω, γύναι·
ἐκ τῆcδε μὲν γῆc οὔ c' ἄγειν βουλήcομαι.]
ἐκ τῆcδε δ' αὐτὴ γῆc ἀπαλλάccου πόδα·
αὐτὴ δ' ἐάνπερ εἰc ἐμοὺc ἔλθηιc δόμουc,
μενεῖc ἄcυλοc κοὔ cε μὴ μεθῶ τινι·
ἀναίτιοc γὰρ καὶ ξένοιc εἶναι θέλω.
Μη. ἔcται τάδ'· ἀλλὰ πίcτιc εἰ γένοιτό μοι
τούτων, ἔχοιμ' ἂν πάντα πρὸc cέθεν καλῶc.
Αι. μῶν οὐ πέποιθαc; ἢ τί coι τὸ δυcχερέc;
Μη. πέποιθα· Πελίου δ' ἐχθρόc ἐcτί μοι δόμοc
Κρέων τε. τούτοιc δ' ὁρκίοιcι μὲν ζυγεὶc
ἄγουcιν οὐ μεθεῖ' ἂν ἐκ γαίαc ἐμέ·
λόγοιc δὲ cυμβὰc καὶ θεῶν ἀνώμοτοc
φίλοc γένοι' ἂν κἀπικηρυκεύμαcιν
τάχ' ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀcθενῆ,

τοῖc δ' ὄλβος ἐcτὶ καὶ δόμος τυραννικός.
Αι. πολλὴν ἔδειξας ἐν λόγοις προμηθίαν·
ἀλλ', εἰ δοκεῖ cοι, δρᾶν τάδ' οὐκ ἀφίcταμαι.
ἐμοί τε γὰρ τάδ' ἐcτὶν ἀcφαλέcτερα,
cκῆψίν τιν' ἐχθροῖc cοῖc ἔχοντα δεικνύναι,
τὸ cόν τ' ἄραρε μᾶλλον. ἐξηγοῦ θεούς.
Μη. ὄμνυ πέδον Γῆc πατέρα θ' Ἥλιον πατρὸc
τοὐμοῦ θεῶν τε cυντιθεὶc ἅπαν γένος.
Αι. τί χρῆμα δράcειν ἢ τί μὴ δράcειν; λέγε.
Μη. μήτ' αὐτὸc ἐκ γῆc cῆc ἔμ' ἐκβαλεῖν ποτε,
μήτ' ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρήιζηι μεθήcειν ζῶν ἑκουcίωι τρόπωι.
Αι. ὄμνυμι Γαῖαν φῶc τε λαμπρὸν Ἡλίου
θεούc τε πάνταc ἐμμενεῖν ἅ cου κλύω.
Μη. ἀρκεῖ· τί δ' ὅρκωι τῶιδε μὴ 'μμένων πάθοιc;
Αι. ἃ τοῖcι δυccεβοῦcι γίγνεται βροτῶν.
Μη. χαίρων πορεύου· πάντα γὰρ καλῶc ἔχει.
κἀγὼ πόλιν cὴν ὡc τάχιcτ' ἀφίξομαι,
πράξαc' ἃ μέλλω καὶ τυχοῦc' ἃ βούλομαι.
Χο. ἀλλά c' ὁ Μαίαc πομπαῖοc ἄναξ
πελάcειε δόμοιc ὧν τ' ἐπίνοιαν
cπεύδειc κατέχων πράξειαc, ἐπεὶ

γενναῖοϲ ἀνήρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκηϲαι.
Μη. ὦ Ζεῦ Δίκη τε Ζηνὸϲ Ἡλίου τε φῶϲ,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
γενηϲόμεϲθα κἀϲ ὁδὸν βεβήκαμεν,
νῦν ἐλπὶϲ ἐχθροὺϲ τοὺϲ ἐμοὺϲ τείϲειν δίκην.
οὗτοϲ γὰρ ἁνὴρ ἧι μάλιϲτ' ἐκάμνομεν
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
ἐκ τοῦδ' ἀναψόμεϲθα πρυμνήτην κάλων,
μολόντεϲ ἄϲτυ καὶ πόλιϲμα Παλλάδοϲ.
ἤδη δὲ πάντα τἀμά ϲοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸϲ ἡδονὴν λόγουϲ.
πέμψαϲ' ἐμῶν τιν' οἰκετῶν Ἰάϲονα
ἐϲ ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήϲομαι.
μολόντι δ' αὐτῶι μαλθακοὺϲ λέξω λόγουϲ,
†ὡϲ καὶ δοκεῖ μοι ταῦτα καὶ καλῶϲ ἔχει†
γάμουϲ τυράννων οὓϲ προδοὺϲ ἡμᾶϲ ἔχει,
καὶ ξύμφορ' εἶναι καὶ καλῶϲ ἐγνωϲμένα.
παῖδαϲ δὲ μεῖναι τοὺϲ ἐμοὺϲ αἰτήϲομαι,
οὐχ ὡϲ λιποῦϲ' ἂν πολεμίαϲ ἐπὶ χθονὸϲ
[ἐχθροῖϲι παῖδαϲ τοὺϲ ἐμοὺϲ καθυβρίϲαι],
ἀλλ' ὡϲ δόλοιϲι παῖδα βαϲιλέωϲ κτάνω.
πέμψω γὰρ αὐτοὺϲ δῶρ' ἔχονταϲ ἐν χεροῖν,
[νύμφηι φέρονταϲ, τήνδε μὴ φεύγειν χθόνα,]
λεπτόν τε πέπλον καὶ πλόκον χρυϲήλατον·

κἄνπερ λαβοῦcα κόcμον ἀμφιθῆι χροΐ,
κακῶc ὀλεῖται πᾶc θ' ὃc ἂν θίγηι κόρηc·
τοιοῖcδε χρίcω φαρμάκοιc δωρήματα.
ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάccω λόγον.
ὤιμωξα δ' οἷον ἔργον ἔcτ' ἐργαcτέον
τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ'· οὔτιc ἔcτιν ὅcτιc ἐξαιρήcεται·
δόμον τε πάντα cυγχέαc' Ἰάcονοc
ἔξειμι γαίαc, φιλτάτων παίδων φόνον
φεύγουcα καὶ τλᾶc' ἔργον ἀνοcιώτατον.
οὐ γὰρ γελᾶcθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
[ἴτω· τί μοι ζῆν κέρδοc; οὔτε μοι πατρὶc
οὔτ' οἶκοc ἔcτιν οὔτ' ἀποcτροφὴ κακῶν.]
ἡμάρτανον τόθ' ἡνίκ' ἐξελίμπανον
δόμουc πατρώιουc, ἀνδρὸc Ἕλληνοc λόγοιc
πειcθεῖc', ὃc ἡμῖν cὺν θεῶι τείcει δίκην.
οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδαc ὄψεταί ποτε
ζῶνταc τὸ λοιπὸν οὔτε τῆc νεοζύγου
νύμφηc τεκνώcει παῖδ', ἐπεὶ κακὴν κακῶc
θανεῖν cφ' ἀνάγκη τοῖc ἐμοῖcι φαρμάκοιc.
μηδείc με φαύλην κἀcθενῆ νομιζέτω
μηδ' ἡcυχαίαν ἀλλὰ θατέρου τρόπου,
βαρεῖαν ἐχθροῖc καὶ φίλοιcιν εὐμενῆ·
τῶν γὰρ τοιούτων εὐκλεέcτατοc βίοc.

Χο. ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωcαc λόγον,
cέ τ' ὠφελεῖν θέλουcα καὶ νόμοιc βροτῶν
ξυλλαμβάνουcα δρᾶν c' ἀπεννέπω τάδε.

*Μη.* οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
τάδ᾽ ἐστί, μὴ πάσχουσαν, ὡς ἐγώ, κακῶς.
*Χο.* ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις, γύναι;
*Μη.* οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
*Χο.* σὺ δ᾽ ἂν γένοιό γ᾽ ἀθλιωτάτη γυνή.
*Μη.* ἴτω· περισσοὶ πάντες οὑν μέσωι λόγοι.
ἀλλ᾽ εἶα χώρει καὶ κόμιζ᾽ Ἰάσονα·
ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
λέξηις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ᾽ ἔφυς.

*Χο.* Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι [στρ. α
καὶ θεῶν παῖδες μακάρων, ἱερᾶς
χώρας ἀπορθήτου τ᾽ ἄπο, φερβόμενοι
κλεινοτάταν σοφίαν, αἰεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ᾽ ἁγνὰς
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·

τοῦ καλλινάου τ᾽ ἐπὶ Κηφισοῦ ῥοαῖς [ἀντ. α
τὰν Κύπριν κλήιζουσιν ἀφυσσαμέναν
χώρας καταπνεῦσαι μετρίας ἀνέμων

ἡδυπνόους αὔρας· αἰεὶ δ' ἐπιβαλλομέναν
χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων
τᾶι Cοφίαι παρέδρους πέμπειν Ἔρωτας,
παντοίας ἀρετᾶς ξυνεργούς.

πῶς οὖν ἱερῶν ποταμῶν [στρ. β
ἢ πόλις ἢ φίλων
πόμπιμός cε χώρα
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν μέταυλον;
cκέψαι τεκέων πλαγάν,
cκέψαι φόνον οἷον αἴρηι.
μή, πρὸς γονάτων cε πάνται
πάντως ἱκετεύομεν,
τέκνα φονεύcηις.

πόθεν θράσος †ἢ φρενὸς ἢ [ἀντ. β
χειρὶ τέκνων cέθεν†
καρδίαι τε λήψηι
δεινὰν προcάγουcα τόλμαν;
πῶς δ' ὄμματα προcβαλοῦcα
τέκνοις ἄδακρυν μοῖραν

σχήσεις φόνου; οὐ δυνάσηι
παίδων ἱκετᾶν πιτνόντων
τέγξαι χέρα φοινίαν
τλάμονι θυμῶι.

Ια. ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς
οὔ τἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι·
τί χρῆμα βούληι καινὸν ἐξ ἐμοῦ, γύναι;
Μη. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
εἰκός σ', ἐπεὶ νῶιν πόλλ' ὑπείργασται φίλα.
ἐγὼ δ' ἐμαυτῆι διὰ λόγων ἀφικόμην
κἀλοιδόρησα· Σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι
πόσει θ', ὃς ἡμῖν δρᾶι τὰ συμφορώτατα,
γήμας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
οὐκ εἰσὶ μέν μοι παῖδες, οἶδα δὲ χθόνα
φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων;
ταῦτ' ἐννοηθεῖσ' ἠισθόμην ἀβουλίαν

πολλὴν ἔχουcα καὶ μάτην θυμουμένη.
νῦν οὖν ἐπαινῶ cωφρονεῖν τέ μοι δοκεῖc
κῆδοc τόδ' ἡμῖν προcλαβών, ἐγὼ δ' ἄφρων,
ἧι χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων
καὶ ξυμπεραίνειν καὶ παρεcτάναι λέχει
νύμφην τε κηδεύουcαν ἥδεcθαι cέθεν.
ἀλλ' ἐcμὲν οἷόν ἐcμεν, οὐκ ἐρῶ κακόν,
γυναῖκεc· οὔκουν χρῆν c' ὁμοιοῦcθαι κακοῖc,
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
παριέμεcθα καί φαμεν κακῶc φρονεῖν
τότ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
ὦ τέκνα τέκνα, δεῦρο, λείπετε cτέγαc,
ἐξέλθετ', ἀcπάcαcθε καὶ προcείπατε
πατέρα μεθ' ἡμῶν καὶ διαλλάχθηθ' ἅμα
τῆc πρόcθεν ἔχθραc ἐc φίλουc μητρὸc μέτα·
cπονδαὶ γὰρ ἡμῖν καὶ μεθέcτηκεν χόλοc.
λάβεcθε χειρὸc δεξιᾶc· οἴμοι, κακῶν
ὡc ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντεc χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
ὡc ἀρτίδακρύc εἰμι καὶ φόβου πλέα.
χρόνωι δὲ νεῖκοc πατρὸc ἐξαιρουμένη
ὄψιν τέρειναν τήνδ' ἔπληcα δακρύων.

Χο. κἀμοὶ κατ' ὄccων χλωρὸν ὡρμήθη δάκρυ·
καὶ μὴ προβαίη μεῖζον ἢ τὸ νῦν κακόν.
Ια. αἰνῶ, γύναι, τάδ', οὐδ' ἐκεῖνα μέμφομαι·
εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖcθαι γένος
†γάμους παρεμπολῶντος ἀλλοίους πόcει†.
ἀλλ' ἐς τὸ λῷον cὸν μεθέcτηκεν κέαρ,
ἔγνως δὲ τὴν νικῶcαν, ἀλλὰ τῶι χρόνωι,
βουλήν· γυναικὸς ἔργα ταῦτα cώφρονος.
ὑμῖν δέ, παῖδες, οὐκ ἀφροντίcτως πατὴρ
πολλὴν ἔθηκε cὺν θεοῖς cωτηρίαν·
οἶμαι γὰρ ὑμᾶς τῆcδε γῆς Κορινθίας
τὰ πρῶτ' ἔcεcθαι cὺν καcιγνήτοις ἔτι.
ἀλλ' αὐξάνεcθε· τἄλλα δ' ἐξεργάζεται
πατήρ τε καὶ θεῶν ὅcτις ἐcτὶν εὐμενής.
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
cτρέψαcα λευκὴν ἔμπαλιν παρηίδα,
κοὐκ ἀcμένη τόνδ' ἐξ ἐμοῦ δέχηι λόγον;
Μη. οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι.
Ια. θάρcει νυν· εὖ γὰρ τῶνδ' ἐγὼ θήcω πέρι.

Μη. δράϲω τάδ'· οὔτοι ϲοῖϲ ἀπιϲτήϲω λόγοιϲ.
γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοιϲ ἔφυ.
Ια. τί δῆτα λίαν τοῖϲδ' ἐπιϲτένειϲ τέκνοιϲ;
Μη. ἔτικτον αὐτούϲ· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
ἐϲῆλθέ μ' οἶκτοϲ εἰ γενήϲεται τάδε.
ἀλλ' ὧνπερ οὕνεκ' εἰϲ ἐμοὺϲ ἥκειϲ λόγουϲ,
τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνηϲθήϲομαι.
ἐπεὶ τυράννοιϲ γῆϲ μ' ἀποϲτεῖλαι δοκεῖ
(κἀμοὶ τάδ' ἐϲτὶ λῷϲτα, γιγνώϲκω καλῶϲ,
μήτ' ἐμποδών ϲοι μήτε κοιράνοιϲ χθονὸϲ
ναίειν· δοκῶ γὰρ δυϲμενὴϲ εἶναι δόμοιϲ)
ἡμεῖϲ μὲν ἐκ γῆϲ τῆϲδ' ἀπαροῦμεν φυγῆι,
παῖδεϲ δ' ὅπωϲ ἂν ἐκτραφῶϲι ϲῆι χερὶ
αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.
Ια. οὐκ οἶδ' ἂν εἰ πείϲαιμι, πειρᾶϲθαι δὲ χρή.
Μη. ϲὺ δ' ἀλλὰ ϲὴν κέλευϲον ἄντεϲθαι πατρὸϲ
γυναῖκα παῖδαϲ τήνδε μὴ φεύγειν χθόνα.
Ια. μάλιϲτα· καὶ πείϲειν γε δοξάζω ϲφ' ἐγώ,
εἴπερ γυναικῶν ἐϲτι τῶν ἄλλων μία.
Μη. ϲυλλήψομαι δὲ τοῦδέ ϲοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῆι δῶρ' ἃ καλλιϲτεύεται
τῶν νῦν ἐν ἀνθρώποιϲιν, οἶδ' ἐγώ, πολὺ
[λεπτόν τε πέπλον καὶ πλόκον χρυϲήλατον]
παῖδαϲ φέρονταϲ. ἀλλ' ὅϲον τάχοϲ χρεὼν
κόϲμον κομίζειν δεῦρο προϲπόλων τινά.

εὐδαιμονήcει δ᾽ οὐχ ἓν ἀλλὰ μυρία,
ἀνδρός τ᾽ ἀρίcτου coῦ τυχοῦc᾽ ὁμευνέτου
κεκτημένη τε κόcμον ὅν ποθ᾽ Ἥλιος
πατρὸc πατὴρ δίδωcιν ἐκγόνοιcιν οἷc.
λάζυcθε φερνὰc τάcδε, παῖδεc, ἐc χέραc
καὶ τῆι τυράννωι μακαρίαι νύμφηι δότε
φέροντεc· οὔτοι δῶρα μεμπτὰ δέξεται.

Ια. τί δ᾽, ὦ ματαία, τῶνδε cὰc κενοῖc χέραc;
δοκεῖc cπανίζειν δῶμα βαcίλειον πέπλων,
δοκεῖc δὲ χρυcοῦ; cῶιζε, μὴ δίδου τάδε.
εἴπερ γὰρ ἡμᾶc ἀξιοῖ λόγου τινὸc
γυνή, προθήcει χρημάτων, cάφ᾽ οἶδ᾽ ἐγώ.

Μη. μή μοι cύ· πείθειν δῶρα καὶ θεοὺc λόγοc·
χρυcὸc δὲ κρείccων μυρίων λόγων βροτοῖc.
κείνηc ὁ δαίμων, κεῖνα νῦν αὔξει θεόc,
νέα τυραννεῖ· τῶν δ᾽ ἐμῶν παίδων φυγὰc
ψυχῆc ἂν ἀλλαξαίμεθ᾽, οὐ χρυcοῦ μόνον.
ἀλλ᾽, ὦ τέκν᾽, εἰcελθόντε πλουcίουc δόμουc
πατρὸc νέαν γυναῖκα, δεcπότιν δ᾽ ἐμήν,
ἱκετεύετ᾽, ἐξαιτεῖcθε μὴ φεύγειν χθόνα,
κόcμον διδόντεc· τοῦδε γὰρ μάλιcτα δεῖ,
ἐc χεῖρ᾽ ἐκείνην δῶρα δέξαcθαι τάδε.
ἴθ᾽ ὡc τάχιcτα· μητρὶ δ᾽ ὧν ἐρᾶι τυχεῖν
εὐάγγελοι γένοιcθε πράξαντεc καλῶc.

Χο. νῦν ἐλπίδεc οὐκέτι μοι παίδων ζόαc, [cτρ. α

οὐκέτι· cτείχουcι γὰρ ἐc φόνον ἤδη.
δέξεται νύμφα χρυcέων ἀναδεcμᾶν
δέξεται δύcτανοc ἄταν·
ξανθᾶι δ' ἀμφὶ κόμαι θήcει τὸν Ἅιδα
κόcμον αὐτὰ χεροῖν.

πείcει χάριc ἀμβρόcιόc τ' αὐγὰ πέπλον [ἀντ. α
χρυcότευκτόν ⟨τε⟩ cτέφανον περιθέcθαι·
νερτέροιc δ' ἤδη πάρα νυμφοκομήcει.
τοῖον εἰc ἕρκοc πεcεῖται
καὶ μοῖραν θανάτου δύcτανοc· ἄταν δ'
οὐχ ὑπεκφεύξεται.

cὺ δ', ὦ τάλαν ὦ κακόνυμφε κηδεμὼν
τυράννων, [cτρ. β
παιcὶν οὐ κατειδὼc
ὄλεθρον βιοτᾶι προcάγειc ἀλόχωι
τε cᾶι cτυγερὸν θάνατον.
δύcτανε, μοίραc ὅcον παροίχηι.

μεταcτένομαι δὲ còν ἄλγος, ὦ τάλαινα παίδων [ἀντ. β
μᾶτερ, ἃ φονεύcεις
τέκνα νυμφιδίων ἕνεκεν λεχέων,
ἅ coι προλιπὼν ἀνόμως
ἄλλαι ξυνοικεῖ πόcις cυνεύνωι.

Πα. δέcποιν', ἀφεῖνται παῖδες οἵδε coι φυγῆς,
καὶ δῶρα νύμφη βαcιλὶc ἀcμένη χεροῖν
ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
ἔα·
τί cυγχυθεῖc' ἕcτηκας ἡνίκ' εὐτυχεῖς;
[τί cὴν ἔτρεψας ἔμπαλιν παρηίδα
κοὐκ ἀcμένη τόνδ' ἐξ ἐμοῦ δέχηι λόγον;]
Μη. αἰαῖ.
Πα. τάδ' οὐ ξυνωιδὰ τοῖcιν ἐξηγγελμένοις.
Μη. αἰαῖ μάλ' αὖθις. Πα. μῶν τιν' ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ' ἐcφάλην εὐαγγέλου;
Μη. ἤγγειλας οἷ' ἤγγειλας· οὐ cὲ μέμφομαι.
Πα. τί δαὶ κατηφὲc ὄμμα καὶ δακρυρροεῖc;
Μη. πολλή μ' ἀνάγκη, πρέcβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶc φρονοῦc' ἐμηχανηcάμην.
Πα. θάρcει· κάτει τοι καὶ cὺ πρὸc τέκνων ἔτι.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/144 UNIVERSITÄT LEIPZIG

*Μη.* ἄλλουϲ κατάξω πρόϲθεν ἡ τάλαιν' ἐγώ.
*Πα.* οὔτοι μόνη ϲὺ ϲῶν ἀπεζύγηϲ τέκνων·
κούφωϲ φέρειν χρὴ θνητὸν ὄντα ϲυμφοράϲ.
*Μη.* δράϲω τάδ'· ἀλλὰ βαῖνε δωμάτων ἔϲω
καὶ παιϲὶ πόρϲυν' οἷα χρὴ καθ' ἡμέραν.
ὦ τέκνα τέκνα, ϲφῷν μὲν ἔϲτι δὴ πόλιϲ
καὶ δῶμ', ἐν ᾧι λιπόντεϲ ἀθλίαν ἐμὲ
οἰκήϲετ' αἰεὶ μητρὸϲ ἐϲτερημένοι·
ἐγὼ δ' ἐϲ ἄλλην γαῖαν εἶμι δὴ φυγάϲ,
πρὶν ϲφῷν ὀνάϲθαι κἀπιδεῖν εὐδαίμοναϲ,
πρὶν λουτρὰ καὶ γυναῖκα καὶ γαμηλίουϲ
εὐνὰϲ ἀγῆλαι λαμπάδαϲ τ' ἀναϲχεθεῖν.
ὦ δυϲτάλαινα τῆϲ ἐμῆϲ αὐθαδίαϲ.
ἄλλωϲ ἄρ' ὑμᾶϲ, ὦ τέκν', ἐξεθρεψάμην,
ἄλλωϲ δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοιϲ,
ϲτερρὰϲ ἐνεγκοῦϲ' ἐν τόκοιϲ ἀλγηδόναϲ.
ἦ μήν ποθ' ἡ δύϲτηνοϲ εἶχον ἐλπίδαϲ
πολλὰϲ ἐν ὑμῖν, γηροβοϲκήϲειν τ' ἐμὲ
καὶ κατθανοῦϲαν χερϲὶν εὖ περιϲτελεῖν,
ζηλωτὸν ἀνθρώποιϲι· νῦν δ' ὄλωλε δὴ
γλυκεῖα φροντίϲ. ϲφῷν γὰρ ἐϲτερημένη
λυπρὸν διάξω βίοτον ἀλγεινόν τ' ἐμοί·
ὑμεῖϲ δὲ μητέρ' οὐκέτ' ὄμμαϲιν φίλοιϲ
ὄψεϲθ', ἐϲ ἄλλο ϲχῆμ' ἀποϲτάντεϲ βίου.
φεῦ φεῦ· τί προϲδέρκεϲθέ μ' ὄμμαϲιν, τέκνα;
τί προϲγελᾶτε τὸν πανύϲτατον γέλων;
αἰαῖ· τί δράϲω; καρδία γὰρ οἴχεται,

γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ᾽ ἔγωγε· χαιρέτω βουλεύματα.
καίτοι τί πάσχω; βούλομαι γέλωτ᾽ ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
τολμητέον τάδ᾽· ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προσέσθαι μαλθακοὺς λόγους φρενί.
χωρεῖτε, παῖδες, ἐς δόμους. ὅτωι δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῶι μελήσει· χεῖρα δ᾽ οὐ διαφθερῶ.
[ἆ ἆ·
μὴ δῆτα, θυμέ, μὴ σύ γ᾽ ἐργάσηι τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ᾽ ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
μὰ τοὺς παρ᾽ Ἅιδηι νερτέρους ἀλάστορας,
οὔτοι ποτ᾽ ἔσται τοῦθ᾽ ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
πάντως σφ᾽ ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.
πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται·

καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ
νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
ἀλλ', εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν
καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,
παῖδας προσειπεῖν βούλομαι· δότ', ὦ τέκνα,
δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι στόμα
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων.
εὐδαιμονοῖτον, ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
πατὴρ ἀφείλετ'· ὦ γλυκεῖα προσβολή,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ' ἥδιστον τέκνων.
χωρεῖτε χωρεῖτ'· οὐκέτ' εἰμὶ προσβλέπειν
οἵα τε †πρὸς ὑμᾶς† ἀλλὰ νικῶμαι κακοῖς.
καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.]

Χο. πολλάκις ἤδη διὰ λεπτοτέρων
μύθων ἔμολον καὶ πρὸς ἁμίλλας
ἦλθον μείζους ἢ χρὴ γενεὰν
θῆλυν ἐρευνᾶν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/147 UNIVERSITÄT LEIPZIG

ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν,
ἣ προσομιλεῖ σοφίας ἕνεκεν,
πάσαισι μὲν οὔ, παῦρον δὲ γένος
(⟨μίαν⟩ ἐν πολλαῖς εὕροις ἂν ἴσως)
οὐκ ἀπόμουσον τὸ γυναικῶν.
καί φημι βροτῶν οἵτινές εἰσιν
πάμπαν ἄπειροι μηδ' ἐφύτευσαν
παῖδας προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων.
οἱ μὲν ἄτεκνοι, δι' ἀπειροσύνην
εἴθ' ἡδὺ βροτοῖς εἴτ' ἀνιαρὸν
παῖδες τελέθουσ' οὐχὶ τυχόντες,
πολλῶν μόχθων ἀπέχονται·
οἷσι δὲ τέκνων ἔστιν ἐν οἴκοις
γλυκερὸν βλάστημ', ἐσορῶ μελέτηι
κατατρυχομένους τὸν ἅπαντα χρόνον,
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς
βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
ἔτι δ' ἐκ τούτων εἴτ' ἐπὶ φλαύροις
εἴτ' ἐπὶ χρηστοῖς
μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.
ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
πᾶσιν κατερῶ θνητοῖσι κακόν·

καὶ δὴ γὰρ ἅλις βίοτόν θ' ηὗρον
cῶμά τ' ἐς ἥβην ἤλυθε τέκνων
χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήcαι
δαίμων οὕτω, φροῦδος ἐς Ἅιδου
θάνατος προφέρων cώματα τέκνων.
πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ' ἔτι λύπην ἀνιαροτάτην
παίδων ἕνεκεν
θνητοῖcι θεοὺς ἐπιβάλλειν;

*Μη.* φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην
καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται.
καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ' ὀπαδῶν· πνεῦμα δ' ἠρεθισμένον
δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν.

ΑΓΓΕΛΟΣ

[ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη,]

Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
λιποῦϲ' ἀπήνην μήτ' ὄχον πεδοϲτιβῆ.
Μη. τί δ' ἄξιόν μοι τῆϲδε τυγχάνει φυγῆϲ;
Αγ. ὄλωλεν ἡ τύραννοϲ ἀρτίωϲ κόρη
Κρέων θ' ὁ φύϲαϲ φαρμάκων τῶν ϲῶν ὕπο.
Μη. κάλλιϲτον εἶπαϲ μῦθον, ἐν δ' εὐεργέταιϲ
τὸ λοιπὸν ἤδη καὶ φίλοιϲ ἐμοῖϲ ἔϲῃ.
Αγ. τί φῄϲ; φρονεῖϲ μὲν ὀρθὰ κοὐ μαίνῃ, γύναι,
ἥτιϲ, τυράννων ἑϲτίαν ᾐκιϲμένη,
χαίρειϲ κλύουϲα κοὐ φοβῇ τὰ τοιάδε;
Μη. ἔχω τι κἀγὼ τοῖϲι ϲοῖϲ ἐναντίον
λόγοιϲιν εἰπεῖν. ἀλλὰ μὴ ϲπέρχου, φίλοϲ,
λέξον δέ· πῶϲ ὤλοντο; δὶϲ τόϲον γὰρ ἂν
τέρψειαϲ ἡμᾶϲ, εἰ τεθνᾶϲι παγκάκωϲ.
Αγ. ἐπεὶ τέκνων ϲῶν ἦλθε δίπτυχοϲ γονὴ
ϲὺν πατρὶ καὶ παρῆλθε νυμφικοὺϲ δόμουϲ,
ἥϲθημεν οἵπερ ϲοῖϲ ἐκάμνομεν κακοῖϲ
δμῶεϲ· δι' ὤτων δ' εὐθὺϲ ἦν πολὺϲ λόγοϲ
ϲὲ καὶ πόϲιν ϲὸν νεῖκοϲ ἐϲπεῖϲθαι τὸ πρίν.
κυνεῖ δ' ὁ μέν τιϲ χεῖρ', ὁ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸϲ ἡδονῆϲ ὕπο
ϲτέγαϲ γυναικῶν ϲὺν τέκνοιϲ ἅμ' ἑϲπόμην.
δέϲποινα δ' ἣν νῦν ἀντὶ ϲοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων ϲῶν εἰϲιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰϲ Ἰάϲονα·
ἔπειτα μέντοι προυκαλύψατ' ὄμματα
λευκήν τ' ἀπέϲτρεψ' ἔμπαλιν παρηίδα,

παίδων μυσαχθεῖϲ' εἰϲόδουϲ. πόϲιϲ δὲ ϲὸϲ
ὀργάϲ τ' ἀφῄρει καὶ χόλον νεάνιδοϲ,
λέγων τάδ'· Οὐ μὴ δυϲμενὴϲ ἔϲηι φίλοιϲ,
παύϲηι δὲ θυμοῦ καὶ πάλιν ϲτρέψειϲ κάρα,
φίλουϲ νομίζουϲ' οὕϲπερ ἂν πόϲιϲ ϲέθεν,
δέξηι δὲ δῶρα καὶ παραιτήϲηι πατρὸϲ
φυγὰϲ ἀφεῖναι παιϲὶ τοῖϲδ' ἐμὴν χάριν;
ἣ δ', ὡϲ ἐϲεῖδε κόϲμον, οὐκ ἠνέϲχετο,
ἀλλ' ᾔνεϲ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδαϲ ϲέθεν
λαβοῦϲα πέπλουϲ ποικίλουϲ ἠμπέϲχετο,
χρυϲοῦν τε θεῖϲα ϲτέφανον ἀμφὶ βοϲτρύχοιϲ
λαμπρῶι κατόπτρωι ϲχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προϲγελῶϲα ϲώματοϲ.
κἄπειτ' ἀναϲτᾶϲ' ἐκ θρόνων διέρχεται
ϲτέγαϲ, ἁβρὸν βαίνουϲα παλλεύκωι ποδί,
δώροιϲ ὑπερχαίρουϲα, πολλὰ πολλάκιϲ
τένοντ' ἐϲ ὀρθὸν ὄμμαϲι ϲκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξαϲα λεχρία πάλιν
χωρεῖ τρέμουϲα κῶλα καὶ μόλιϲ φθάνει
θρόνοιϲιν ἐμπεϲοῦϲα μὴ χαμαὶ πεϲεῖν.
καί τιϲ γεραιὰ προϲπόλων, δόξαϲά που
ἢ Πανὸϲ ὀργὰϲ ἤ τινοϲ θεῶν μολεῖν,
ἀνωλόλυξε, πρίν γ' ὁρᾶι διὰ ϲτόμα

χωροῦντα λευκὸν ἀφρόν, ὀμμάτων τ' ἄπο
κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·
εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ' ἡ μὲν ἐς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράν· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δραμήμασιν.
ἤδη δ' ἀνελθὼν κῶλον ἔκπλεθρον δρόμου
ταχὺς βαδιστὴς τερμόνων ἂν ἥπτετο·
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξας' ἡ τάλαιν' ἠγείρετο.
διπλοῦν γὰρ αὐτῆι πῆμ' ἐπεστρατεύετο·
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός,
πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,
σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
σύνδεσμα χρυσὸς εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσεισε, μᾶλλον δὶς τόσως ἐλάμπετο.

*πίτνει δ' ἐς οὖδας cυμφορᾶι νικωμένη,*
*πλὴν τῶι τεκόντι κάρτα δυcμαθὴς ἰδεῖν·*
*οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάcταcιc*
*οὔτ' εὐφυὲς πρόcωπον, αἷμα δ' ἐξ ἄκρου*
*ἔcταζε κρατὸς cυμπεφυρμένον πυρί,*
*cάρκες δ' ἀπ' ὀcτέων ὥcτε πεύκινον δάκρυ*
*γνάθοιc ἀδήλοις φαρμάκων ἀπέρρεον,*
*δεινὸν θέαμα. πᾶcι δ' ἦν φόβος θιγεῖν*
*νεκροῦ· τύχην γὰρ εἴχομεν διδάcκαλον.*
*πατὴρ δ' ὁ τλήμων cυμφορᾶc ἀγνωcίαι*
*ἄφνω παρελθὼν δῶμα προcπίτνει νεκρῶι.*
*ὤιμωξε δ' εὐθὺς καὶ περιπτύξας χέρας*
*κυνεῖ προcαυδῶν τοιάδ'· Ὦ δύcτηνε παῖ,*
*τίς c' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεcεν;*
*τίς τὸν γέροντα τύμβον ὀρφανὸν cέθεν*
*τίθηcιν; οἴμοι, cυνθάνοιμί cοι, τέκνον.*
*ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύcατο,*
*χρήιζων γεραιὸν ἐξαναcτῆcαι δέμας*
*προcείχεθ' ὥcτε κιccὸc ἔρνεcιν δάφνηc*
*λεπτοῖcι πέπλοις, δεινὰ δ' ἦν παλαίcματα.*
*ὁ μὲν γὰρ ἤθελ' ἐξαναcτῆcαι γόνυ,*
*ἡ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸc βίαν ἄγοι,*
*cάρκας γεραιὰc ἐcπάραcc' ἀπ' ὀcτέων.*

χρόνωι δ' ἀπέcβη καὶ μεθῆχ' ὁ δύcμοροc
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτεροc.
κεῖνται δὲ νεκροὶ παῖc τε καὶ γέρων πατήρ
[πέλαc, ποθεινὴ δακρύοιcι cυμφορά].
καί μοι τὸ μὲν cὸν ἐκποδὼν ἔcτω λόγου·
γνώcηι γὰρ αὐτὴ ζημίαc ἐπιcτροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι cκιάν,
οὐδ' ἂν τρέcαc εἴποιμι τοὺc cοφοὺc βροτῶν
δοκοῦνταc εἶναι καὶ μεριμνητὰc λόγων
τούτουc μεγίcτην μωρίαν ὀφλιcκάνειν.
θνητῶν γὰρ οὐδείc ἐcτιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντοc εὐτυχέcτεροc
ἄλλου γένοιτ' ἂν ἄλλοc, εὐδαίμων δ' ἂν οὔ.

Χο. ἔοιχ' ὁ δαίμων πολλὰ τῆιδ' ἐν ἡμέραι
κακὰ ξυνάπτειν ἐνδίκωc Ἰάcονι.
[ὦ τλῆμον, ὥc cου cυμφορὰc οἰκτίρομεν,
κόρη Κρέοντοc, ἥτιc εἰc Ἅιδου δόμουc
οἴχηι γάμων ἕκατι τῶν Ἰάcονοc.]

Μη. φίλαι, δέδοκται τοὔργον ὡc τάχιcτά μοι
παῖδαc κτανούcηι τῆcδ' ἀφορμᾶcθαι χθονόc,
καὶ μὴ cχολὴν ἄγουcαν ἐκδοῦναι τέκνα
ἄλληι φονεῦcαι δυcμενεcτέραι χερί.

*πάντως ϲφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,*
*ἡμεῖϲ κτενοῦμεν οἵπερ ἐξεφύϲαμεν.*
*ἀλλ' εἶ' ὁπλίζου, καρδία· τί μέλλομεν*
*τὰ δεινὰ κἀναγκαῖα μὴ πράϲϲειν κακά;*
*ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,*
*λάβ', ἕρπε πρὸϲ βαλβῖδα λυπηρὰν βίου,*
*καὶ μὴ κακιϲθῇϲ μηδ' ἀναμνηϲθῇϲ τέκνων,*
*ὡϲ φίλταθ', ὡϲ ἔτικτεϲ, ἀλλὰ τήνδε γε*
*λαθοῦ βραχεῖαν ἡμέραν παίδων ϲέθεν*
*κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖϲ ϲφ', ὅμως*
*φίλοι γ' ἔφυϲαν· δυϲτυχὴϲ δ' ἐγὼ γυνή.*

*Χο.* *ἰὼ Γᾶ τε καὶ παμφαὴϲ* [ϲτρ. α
*ἀκτὶϲ Ἁλίου, κατίδετ' ἴδετε τὰν*
*ὀλομέναν γυναῖκα, πρὶν φοινίαν*
*τέκνοιϲ προϲβαλεῖν χέρ' αὐτοκτόνον·*
*ϲᾶϲ γὰρ χρυϲέαϲ ἀπὸ γονᾶϲ*
*ἔβλαϲτεν, θεοῦ δ' αἷμα ⟨χαμαὶ⟩ πίτνειν*
*φόβοϲ ὑπ' ἀνέρων.*

ἀλλά νιν, ὦ φάοϲ διογενέϲ, κάτειρ-
γε κατάπαυϲον ἔξελ᾽ οἴκων τάλαι-
ναν φονίαν τ᾽ Ἐρινὺν †ὑπ᾽ ἀλαϲτόρων†.

μάταν μόχθοϲ ἔρρει τέκνων, [ἀντ. α
μάταν ἄρα γένοϲ φίλιον ἔτεκεϲ, ὦ
κυανεᾶν λιποῦϲα Ϲυμπληγάδων
πετρᾶν ἀξενωτάταν ἐϲβολάν.
δειλαία, τί ϲοι φρενοβαρὴϲ
χόλοϲ προϲπίτνει καὶ ζαμενὴϲ ⟨φόνου⟩
φόνοϲ ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖϲ ὁμογενῆ μιά-
ϲματ᾽ †ἐπὶ γαῖαν† αὐτοφόνταιϲ ξυνωι-
δὰ θεόθεν πίτνοντ᾽ ἐπὶ δόμοιϲ ἄχη.

⟨ΠΑΙϹ⟩ (ἔϲωθεν)
ἰώ μοι. 1270a

[ϲτρ. β

Χο. ἀκούειϲ βοὰν ἀκούειϲ τέκνων; 1273
ἰὼ τλᾶμον, ὦ κακοτυχὲϲ γύναι. 1274

Πα.[α] οἴμοι, τί δράϲω; ποῖ φύγω μητρὸϲ χέραϲ; 1271

Πα.[β] οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεϲθα γάρ. 1272

Χο. παρέλθω δόμουϲ; ἀρῆξαι φόνον 1275
δοκεῖ μοι τέκνοιϲ.

Πα.[α] ναί, πρὸϲ θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ.

Πα.[β] ὡϲ ἐγγὺϲ ἤδη γ' ἐϲμὲν ἀρκύων ξίφουϲ.

Χο. τάλαιν', ὡϲ ἄρ' ἦϲθα πέτροϲ ἢ ϲίδα-
ροϲ ἅτιϲ τέκνων 1280
ὃν ἔτεκεϲ ἄροτον αὐτόχει-
ρι μοίραι κτενεῖϲ.

μίαν δὴ κλύω μίαν τῶν πάροϲ [ἀντ. β
γυναῖκ' ἐν φίλοιϲ χέρα βαλεῖν τέκνοιϲ,

Ἰνὼ μανεῖcαν ἐκ θεῶν, ὅθ᾽ ἡ Διὸc
δάμαρ νιν ἐξέπεμπε δωμάτων ἄλαιc·
πίτνει δ᾽ ἁ τάλαιν᾽ ἐc ἅλμαν φόνωι
τέκνων δυccεβεῖ,
ἀκτῆc ὑπερτείναcα ποντίαc πόδα,
δυοῖν τε παίδοιν ξυνθανοῦc᾽ ἀπόλλυται.
τί δῆτ᾽ οὐ γένοιτ᾽ ἂν ἔτι δεινόν; ὦ
γυναικῶν λέχοc
πολύπονον, ὅcα βροτοῖc ἔρε-
ξαc ἤδη κακά.

Ια. γυναῖκεc, αἳ τῆcδ᾽ ἐγγὺc ἕcτατε cτέγηc,
ἆρ᾽ ἐν δόμοιcιν ἡ τὰ δείν᾽ εἰργαcμένη
Μήδεια τοιcίδ᾽ ἢ μεθέcτηκεν φυγῆι;
δεῖ γάρ νιν ἤτοι γῆc γε κρυφθῆναι κάτω
ἢ πτηνὸν ἆραι cῶμ᾽ ἐc αἰθέροc βάθοc,
εἰ μὴ τυράννων δώμαcιν δώcει δίκην.
πέποιθ᾽ ἀποκτείναcα κοιράνουc χθονὸc
ἀθῶιοc αὐτὴ τῶνδε φεύξεcθαι δόμων;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/158 UNIVERSITÄT LEIPZIG

ἀλλ᾽ οὐ γὰρ αὐτῆς φροντίδ᾽ ὡς τέκνων ἔχω·
κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσώσων βίον,
μή μοί τι δράσωσ᾽ οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.

Χο. ὦ τλῆμον, οὐκ οἶσθ᾽ οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ᾽ ἂν ἐφθέγξω λόγους.

Ια. τί δ᾽ ἔστιν; ἦ που κἄμ᾽ ἀποκτεῖναι θέλει;

Χο. παῖδες τεθνᾶσι χειρὶ μητρῴαι σέθεν.

Ια. οἴμοι, τί λέξεις; ὥς μ᾽ ἀπώλεσας, γύναι.

Χο. ὡς οὐκέτ᾽ ὄντων σῶν τέκνων φρόντιζε δή.

Ια. ποῦ γάρ νιν ἔκτειν᾽; ἐντὸς ἢ ᾽ξωθεν δόμων;

Χο. πύλας ἀνοίξας σῶν τέκνων ὄψηι φόνον.

Ια. χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
ἐκλύεθ᾽ ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν
[τοὺς μὲν θανόντας, τὴν δὲ τείσωμαι δίκην].

Μη. τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ᾽. εἰ δ᾽ ἐμοῦ χρείαν ἔχεις,
λέγ᾽ εἴ τι βούληι, χειρὶ δ᾽ οὐ ψαύσεις ποτέ·
τοιόνδ᾽ ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.

Ια. ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
θεοῖς τε κἀμοὶ παντί τ᾽ ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα κἄμ᾽ ἄπαιδ᾽ ἀπώλεσας.

καὶ ταῦτα δράcαc᾽ ἥλιόν τε προcβλέπειc
καὶ γαῖαν, ἔργον τλᾶcα δυccεβέcτατον;
ὄλοι᾽. ἐγὼ δὲ νῦν φρονῶ, τότ᾽ οὐ φρονῶν,
ὅτ᾽ ἐκ δόμων cε βαρβάρου τ᾽ ἀπὸ χθονὸc
Ἕλλην᾽ ἐc οἶκον ἠγόμην, κακὸν μέγα,
πατρόc τε καὶ γῆc προδότιν ἥ c᾽ ἐθρέψατο.
τὸν cὸν δ᾽ ἀλάcτορ᾽ εἰc ἔμ᾽ ἔcκηψαν θεοί·
κτανοῦcα γὰρ δὴ cὸν κάcιν παρέcτιον
τὸ καλλίπρωιρον εἰcέβηc Ἀργοῦc cκάφοc.
ἤρξω μὲν ἐκ τοιῶνδε· νυμφευθεῖcα δὲ
παρ᾽ ἀνδρὶ τῶιδε καὶ τεκοῦcά μοι τέκνα,
εὐνῆc ἕκατι καὶ λέχουc cφ᾽ ἀπώλεcαc.
οὐκ ἔcτιν ἥτιc τοῦτ᾽ ἂν Ἑλληνὶc γυνὴ
ἔτλη ποθ᾽, ὧν γε πρόcθεν ἠξίουν ἐγὼ
γῆμαι cέ, κῆδοc ἐχθρὸν ὀλέθριόν τ᾽ ἐμοί,
λέαιναν, οὐ γυναῖκα, τῆc Τυρcηνίδοc
Cκύλληc ἔχουcαν ἀγριωτέραν φύcιν.
ἀλλ᾽ οὐ γὰρ ἄν cε μυρίοιc ὀνείδεcιν
δάκοιμι· τοιόνδ᾽ ἐμπέφυκέ coι θράcοc·
ἔρρ᾽, αἰcχροποιὲ καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον᾽ αἰάζειν πάρα,
ὃc οὔτε λέκτρων νεογάμων ὀνήcομαι,
οὐ παῖδαc οὓc ἔφυcα κἀξεθρεψάμην
ἕξω προcειπεῖν ζῶνταc ἀλλ᾽ ἀπώλεcα.

Μη. μακρὰν ἂν ἐξέτεινα τοῖcδ᾽ ἐναντίον
λόγοιcιν, εἰ μὴ Ζεὺc πατὴρ ἠπίcτατο
οἷ᾽ ἐξ ἐμοῦ πέπονθαc οἷά τ᾽ εἰργάcω.
cὺ δ᾽ οὐκ ἔμελλεc τἄμ᾽ ἀτιμάcαc λέχη

τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοὶ
οὐδ᾽ ἡ τύραννος, οὐδ᾽ ὅ σοι προσθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ᾽ ἐκβαλεῖν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούληι, κάλει
[καὶ Σκύλλαν ἣ Τυρσηνὸν ὤικησεν πέδον]·
τῆς σῆς γὰρ ὡς χρῆν καρδίας ἀνθηψάμην.

Ια. καὐτή γε λυπῆι καὶ κακῶν κοινωνὸς εἶ.
Μη. σάφ᾽ ἴσθι· λύει δ᾽ ἄλγος, ἢν σὺ μὴ ᾽γγελᾶις.
Ια. ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
Μη. ὦ παῖδες, ὡς ὤλεσθε πατρώιαι νόσωι.
Ια. οὔτοι νιν ἡμὴ δεξιά γ᾽ ἀπώλεσεν.
Μη. ἀλλ᾽ ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι.
Ια. λέχους σφε κἠξίωσας οὕνεκα κτανεῖν;
Μη. σμικρὸν γυναικὶ πῆμα τοῦτ᾽ εἶναι δοκεῖς;
Ια. ἥτις γε σώφρων· σοὶ δὲ πάντ᾽ ἐστὶν κακά.
Μη. οἵδ᾽ οὐκέτ᾽ εἰσί· τοῦτο γάρ σε δήξεται.
Ια. οἵδ᾽ εἰσίν, οἴμοι, σῶι κάραι μιάστορες.
Μη. ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.
Ια. ἴσασι δῆτα σήν γ᾽ ἀπόπτυστον φρένα.
Μη. στύγει· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
Ια. καὶ μὴν ἐγὼ σήν· ῥάιδιοι δ᾽ ἀπαλλαγαί.
Μη. πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
Ια. θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.
Μη. οὐ δῆτ᾽, ἐπεί σφας τῆιδ᾽ ἐγὼ θάψω χερί,

φέρους' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσηι
τυμβοὺς ἀναςπῶν· γῆι δὲ τῆιδε Cιςύφου
ςεμνὴν ἑορτὴν καὶ τέλη προςάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυςςεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ ςυνοικήςουςα τῶι Πανδίονος.
ςὺ δ', ὥςπερ εἰκός, κατθανῆι κακὸς κακῶς,
Ἀργοῦς κάρα ςὸν λειψάνωι πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν γάμων ἰδών.
Ια. ἀλλά ς' Ἐρινὺς ὀλέςειε τέκνων
φονία τε Δίκη.
Μη. τίς δὲ κλύει ςοῦ θεὸς ἢ δαίμων,
τοῦ ψευδόρκου καὶ ξειναπάτου;
Ια. φεῦ φεῦ, μυςαρὰ καὶ παιδολέτορ.
Μη. ςτεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.
Ια. ςτείχω, διςςῶν γ' ἄμορος τέκνων.
Μη. οὔπω θρηνεῖς· μένε καὶ γῆρας.
Ια. ὦ τέκνα φίλτατα. Μη. μητρί γε, ςοὶ δ' οὔ.
Ια. κἄπειτ' ἔκανες; Μη. ςέ γε πημαίνους'.
Ια. ὤμοι, φιλίου χρήιζω ςτόματος
παίδων ὁ τάλας προςπτύξαςθαι.
Μη. νῦν ςφε προςαυδᾶις, νῦν ἀςπάζηι,
τότ' ἀπωςάμενος. Ια. δός μοι πρὸς θεῶν
μαλακοῦ χρωτὸς ψαῦςαι τέκνων.
Μη. οὐκ ἔςτι· μάτην ἔπος ἔρριπται.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/162 UNIVERSITÄT LEIPZIG

Ια. Ζεῦ, τάδ᾽ ἀκούεις ὡς ἀπελαυνόμεθ᾽
οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
καὶ παιδοφόνου τῆσδε λεαίνης;
ἀλλ᾽ ὁπόσον γοῦν πάρα καὶ δύναμαι
τάδε καὶ θρηνῶ κἀπιθεάζω,
μαρτυρόμενος δαίμονας ὥς μοι
τέκνα κτείνασ᾽ ἀποκωλύεις
ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
οὓς μήποτ᾽ ἐγὼ φύσας ὄφελον
πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.

[Χο. πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπωι,
πολλὰ δ᾽ ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ᾽ οὐκ ἐτελέσθη,
τῶν δ᾽ ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα.]



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/163 UNIVERSITÄT LEIPZIG

Ζεῦ, τοῦ [illegible] 1405
οἷα τε [illegible]
καὶ [illegible]
ἀλλ' ὁπόταν [illegible]
τάδε καὶ [illegible]
μαρτυρόμεθ' [illegible] 1410
[illegible]
[illegible]
[illegible]
πρὸς τοῦ [illegible]

πολλῶν τεράτων Ζεὺς ἐν Ὀλύμπῳ [illegible] 1415
[illegible]
καὶ τὰ δοκηθέντ' [illegible]
τῶν δ' ἀδοκήτων [illegible]
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

cod.: Π ≈ ΦΟΛΑV; LP

1409 in Ζεῦ [illegible]
[illegible]

# ΗΡΑΚΛΕΙΔΑΙ

## *ΕΥΡΙΠΙΔΟΥ*

# *ΥΠΟΘΕϹΙϹ ΗΡΑΚΛΕΙΔΩΝ*

Ἰόλαοϲ υἱὸϲ μὲν ἦν Ἰφικλέουϲ, ἀδελφιδοῦϲ δὲ Ἡρακλέουϲ· ἐν νεότητι δ' ἐκείνωι ϲυϲτρατευϲάμενοϲ ἐν γήραι τοῖϲ ἐξ ἐκείνου βοηθὸϲ εὔνουϲ παρέϲτη. τῶν γὰρ παίδων ἐξ ἁπάϲηϲ ἐλαυνομένων γῆϲ ὑπ' Εὐρυϲθέωϲ, ἔχων αὐτοὺϲ ἦλθεν εἰϲ Ἀθήναϲ κἀκεῖ προϲφυγὼν τοῖϲ θεοῖϲ ἔϲχε τὴν ἀϲφάλειαν Δημοφῶντοϲ τῆϲ πόλεωϲ κρατοῦντοϲ. Κοπρέωϲ δὲ τοῦ Εὐρυϲθέωϲ κήρυκοϲ ἀποϲπᾶν θέλοντοϲ τοὺϲ ἱκέταϲ ἐκώλυϲεν αὐτόν· ὁ δὲ ἀπῆλθε πόλεμον ἀπειλήϲαϲ προϲδέχεϲθαι. Δημοφῶν δὲ τούτου μὲν ὠλιγώρει· χρηϲμῶν δὲ αὐτῶι νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεϲτάτην παρθένον ϲφάξηι, τοῖϲ λογίοιϲ βαρέωϲ ἔϲχεν· οὔτε γὰρ ἰδίαν οὔτε τῶν πολιτῶν τινοϲ θυγατέρα χάριν τῶν ἱκετῶν ἀποκτεῖναι δίκαιον ἡγεῖτο. τὴν μαντείαν δὲ προγνοῦϲα μία τῶν Ἡρακλέουϲ παίδων Μακαρία τὸν θάνατον ἑκουϲίωϲ ὑπέϲτη. ταύτην μὲν οὖν εὐγενῶϲ ἀποθανοῦϲαν ἐτίμηϲαν, αὐτοὶ δὲ τοὺϲ πολεμίουϲ ἐπιγνόντεϲ παρόνταϲ εἰϲ τὴν μάχην ὥρμηϲαν...

τὰ τοῦ δράματοϲ πρόϲωπα· Ἰόλαοϲ, Κοπρεύϲ, χορόϲ, Δημοφῶν, Μακαρία παρθένοϲ, θεράπων, Ἀλκμήνη, ἄγγελοϲ, Εὐρυϲθεύϲ. προλογίζει δὲ ὁ Ἰόλαοϲ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/166 UNIVERSITÄT LEIPZIG

# ΗΡΑΚΛΕΙΔΑΙ

ΙΟΛΑΟΣ

Πάλαι ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον·
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνήρ,
ὁ δ' ἐς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον
πόλει τ' ἄχρηστος καὶ συναλλάσσειν βαρύς,
αὑτῶι δ' ἄριστος· οἶδα δ' οὐ λόγωι μαθών.
ἐγὼ γὰρ αἰδοῖ καὶ τὸ συγγενὲς σέβων,
ἐξὸν κατ' Ἄργος ἡσύχως ναίειν, πόνων
πλείστων μετέσχον εἷς ἀνὴρ Ἡρακλέει,
ὅτ' ἦν μεθ' ἡμῶν· νῦν δ', ἐπεὶ κατ' οὐρανὸν
ναίει, τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς
σώιζω τάδ' αὐτὸς δεόμενος σωτηρίας.
ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπηλλάχθη πατήρ,
πρῶτον μὲν ἡμᾶς ἤθελ' Εὐρυσθεὺς κτανεῖν·
ἀλλ' ἐξέδραμεν, καὶ πόλις μὲν οἴχεται,
ψυχὴ δ' ἐσώθη. φεύγομεν δ' ἀλώμενοι
ἄλλην ἀπ' ἄλλης ἐξοριζόντων πόλιν.
πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ' Εὐρυσθεὺς κακοῖς
ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι·
πέμπων ὅπου γῆς πυνθάνοιθ' ἱδρυμένους
κήρυκας ἐξαιτεῖ τε κἀξείργει χθονός,
πόλιν προτείνων Ἄργος οὐ σμικρὸν φίλην
ἐχθράν τε θέσθαι, χαὐτὸν εὐτυχοῦνθ' ἅμα.
οἱ δ' ἀσθενῆ μὲν τἀπ' ἐμοῦ δεδορκότες,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/167 UNIVERSITÄT LEIPZIG

cμικροὺc δὲ τούcδε καὶ πατρὸc τητωμένουc,
τοὺc κρείccοναc cέβοντεc ἐξείργουcι γῆc.
ἐγὼ δὲ cὺν φεύγουcι cυμφεύγω τέκνοιc
καὶ cὺν κακῶc πράccουcι cυμπράccω κακῶc,
ὀκνῶν προδοῦναι, μή τιc ὧδ' εἴπηι βροτῶν·
Ἴδεcθ', ἐπειδὴ παιcὶν οὐκ ἔcτιν πατήρ,
Ἰόλαοc οὐκ ἤμυνε cυγγενὴc γεγώc.
πάcηc δὲ χώραc Ἑλλάδοc τητώμενοι
Μαραθῶνα καὶ cύγκληρον ἐλθόντεc χθόνα
ἱκέται καθεζόμεcθα βώμιοι θεῶν
προcωφελῆcαι· πεδία γὰρ τῆcδε χθονὸc
διccοὺc κατοικεῖν Θηcέωc παῖδαc λόγοc
κλήρωι λαχόνταc ἐκ γένουc Πανδίονοc,
τοῖcδ' ἐγγὺc ὄνταc· ὧν ἕκατι τέρμοναc
κλεινῶν Ἀθηνῶν τήνδ' ἀφικόμεcθ' ὁδόν.
δυοῖν γερόντοιν δὲ cτρατηγεῖται φυγή·
ἐγὼ μὲν ἀμφὶ τοῖcδε καλχαίνων τέκνοιc,
ἡ δ' αὖ τὸ θῆλυ παιδὸc Ἀλκμήνη γένοc
ἔcωθε ναοῦ τοῦδ' ὑπηγκαλιcμένη
cώιζει· νέαc γὰρ παρθένουc αἰδούμεθα
ὄχλωι πελάζειν κἀπιβωμιοcτατεῖν.
Ὕλλοc δ' ἀδελφοί θ' οἷcι πρεcβεύει γένοc
ζητοῦc' ὅπου γῆc πύργον οἰκιούμεθα,
ἢν τῆcδ' ἀπωθώμεcθα πρὸc βίαν χθονόc.
ὦ τέκνα τέκνα, δεῦρο, λαμβάνεcθ' ἐμῶν
πέπλων· ὁρῶ κήρυκα τόνδ' Εὐρυcθέωc
cτείχοντ' ἐφ' ἡμᾶc, οὗ διωκόμεcθ' ὕπο
πάcηc ἀλῆται γῆc ἀπεcτερημένοι.
ὦ μῖcοc, εἴθ' ὄλοιο χὡ πέμψαc ⟨c'⟩ ἀνήρ,
ὡc πολλὰ δὴ καὶ τῶνδε γενναίωι πατρὶ
ἐκ τοῦδε ταὐτοῦ cτόματοc ἤγγειλαc κακά.

*ΚΗΡΥΞ*

ἦ που καθῆcθαι τήνδ' ἕδραν καλὴν δοκεῖc
πόλιν τ' ἀφῖχθαι cύμμαχον, κακῶc φρονῶν·
οὐ γάρ τιc ἔcτιν ὃc πάροιθ' αἱρήcεται
τὴν cὴν ἀχρεῖον δύναμιν ἀντ' Εὐρυcθέωc.
χώρει· τί μοχθεῖc ταῦτ'; ἀνίcταcθαί cε χρὴ
ἐc Ἄργοc, οὗ cε λεύcιμοc μένει δίκη.

*Ιο.* οὐ δῆτ', ἐπεί μοι βωμὸc ἀρκέcει θεοῦ,
ἐλευθέρα τε γαῖ' ἐν ἧι βεβήκαμεν.

*Κη.* βούληι πόνον μοι τῆιδε προcθεῖναι χερί;

*Ιο.* οὔτοι βίαι γέ μ' οὐδὲ τούcδ' ἄξειc λαβών.

*Κη.* γνώcηι cύ· μάντιc δ' ἦcθ' ἄρ' οὐ καλὸc τάδε.

*Ιο.* οὐκ ἂν γένοιτο τοῦτ' ἐμοῦ ζῶντόc ποτε.

*Κη.* ἄπερρ'· ἐγὼ δὲ τούcδε, κἂν cὺ μὴ θέληιc,
ἄξω νομίζων οὗπέρ εἰc' Εὐρυcθέωc.

*Ιο.* ὦ τὰc Ἀθήναc δαρὸν οἰκοῦντεc χρόνον,
ἀμύνεθ'· ἱκέται δ' ὄντεc ἀγοραίου Διὸc
βιαζόμεcθα καὶ cτέφη μιαίνεται,
πόλει τ' ὄνειδοc καὶ θεῶν ἀτιμίαν.

*ΧΟΡΟC*

ἔα ἔα· τίc ἡ βοὴ βωμοῦ πέλαc
ἕcτηκε; ποίαν cυμφορὰν δείξει τάχα;

ἴδετε τὸν γέροντ' ἀμαλὸν ἐπὶ πέδωι [cτρ.
χύμενον· ὦ τάλαc 76
⟨ ⟩
πρὸc τοῦ ποτ' ἐν γῆι πτῶμα δύcτηνον πίτνειc;

Ιο. ὅδ' ὦ ξένοι με ϲοὺϲ ἀτιμάζων θεοὺϲ
ἕλκει βιαίωϲ Ζηνὸϲ ἐκ προβωμίων.
Χο. ϲὺ δ' ἐκ τίνοϲ γῆϲ, ὦ γέρον, τετράπτολιν
ξύνοικον ἦλθεϲ λαόν; ἢ
πέραθεν ἁλίωι πλάται
κατέχετ' ἐκλιπόντεϲ Εὐβοῖδ' ἀκτάν;
Ιο. οὐ νηϲιώτην, ὦ ξένοι, τρίβω βίον,
ἀλλ' ἐκ Μυκηνῶν ϲὴν ἀφίγμεθα χθόνα.
Χο. ὄνομα τί ϲε, γέρον, Μυκηναῖοϲ ὠ-
νόμαζεν λεώϲ;
Ιο. τὸν Ἡράκλειον ἴϲτε που παραϲτάτην
Ἰόλαον· οὐ γὰρ ϲῶμ' ἀκήρυκτον τόδε.
Χο. οἶδ' εἰϲακούϲαϲ καὶ πρίν· ἀλλὰ τοῦ ποτε
ἐν χειρὶ ϲᾶι κομίζειϲ κόρουϲ
νεοτρεφεῖϲ; φράϲον.
Ιο. Ἡρακλέουϲ οἵδ' εἰϲὶ παῖδεϲ, ὦ ξένοι,
ἱκέται ϲέθεν τε καὶ πόλεωϲ ἀφιγμένοι.

Χο. τί χρέοϲ; ἦ λόγων πόλεοϲ, ἔνεπέ μοι, [ἀντ.
μελόμενοι τυχεῖν;
Ιο. μήτ' ἐκδοθῆναι μήτε πρὸϲ βίαν θεῶν
τῶν ϲῶν ἀποϲπαϲθέντεϲ εἰϲ Ἄργοϲ μολεῖν.
Κη. ἀλλ' οὔτι τοῖϲ ϲοῖϲ δεϲπόταιϲ τάδ' ἀρκέϲει,
οἳ ϲοῦ κρατοῦντεϲ ἐνθάδ' εὑρίϲκουϲί ϲε.
Χο. εἰκὸϲ θεῶν ἱκτῆραϲ αἰδεῖϲθαι, ξένε,
καὶ μὴ βιαίωι χειρὶ δαι-
μόνων ἀπολιπεῖν ϲφ' ἕδη·
πότνια γὰρ Δίκα τάδ' οὐ πείϲεται.

Κη. ἔκπεμπέ νυν γῆς τούσδε τοὺς Εὐρυσθέως,
κοὐδὲν βιαίωι τῆιδε χρήσομαι χερί.
Χο. ἄθεον ἱκεσίαν μεθεῖναι πόλει
ξένων προστροπάν.
Κη. καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα,
εὐβουλίας τυχόντα τῆς ἀμείνονος.
⟨Χο. ⟩
⟨ ⟩
⟨ ⟩
⟨Κη. ⟩
⟨ ⟩

Χο. οὔκουν τυράννωι τῆσδε γῆς φράσαντά σε
χρῆν ταῦτα τολμᾶν, ἀλλὰ μὴ βίαι ξένους
θεῶν ἀφέλκειν, γῆν σέβοντ' ἐλευθέραν;
Κη. τίς δ' ἐστὶ χώρας τῆσδε καὶ πόλεως ἄναξ;
Χο. ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως.
Κη. πρὸς τοῦτον ἁγὼν ἆρα τοῦδε τοῦ λόγου
μάλιστ' ἂν εἴη· τἄλλα δ' εἴρηται μάτην.
Χο. καὶ μὴν ὅδ' αὐτὸς ἔρχεται σπουδὴν ἔχων
Ἀκάμας τ' ἀδελφός, τῶνδ' ἐπήκοοι λόγων.

ΔΗΜΟΦΩΝ

ἐπείπερ ἔφθης πρέσβυς ὢν νεωτέρους
βοηδρομήσας τήνδ' ἐπ' ἐσχάραν Διός,
λέξον, τίς ὄχλον τόνδ' ἀθροίζεται τύχη;
Χο. ἱκέται κάθηνται παῖδες οἵδ' Ἡρακλέους
βωμὸν καταστέψαντες, ὡς ὁρᾶις, ἄναξ,
πατρός τε πιστὸς Ἰόλεως παραστάτης.
Δη. τί δῆτ' ἰυγμῶν ἧδ' ἐδεῖτο συμφορά;

Χο. βίαι νιν οὗτος τῆςδ' ἀπ' ἐςχάρας ἄγειν
ζητῶν βοὴν ἔςτηςε κἄςφηλεν γόνυ
γέροντος, ὥςτε μ' ἐκβαλεῖν οἴκτωι δάκρυ.
Δη. καὶ μὴν στολήν γ' Ἕλληνα καὶ ῥυθμὸν πέπλων
ἔχει, τὰ δ' ἔργα βαρβάρου χερὸς τάδε.
cὸν δὴ τὸ φράζειν ἐςτί, μὴ μέλλειν ⟨δ'⟩, ἐμοὶ
ποίας ἀφῖξαι δεῦρο γῆς ὅρους λιπών.
Κη. Ἀργεῖός εἰμι· τοῦτο γὰρ θέλεις μαθεῖν·
ἐφ' οἷςι δ' ἥκω καὶ παρ' οὗ λέγειν θέλω.
πέμπει Μυκηνῶν δεῦρό μ' Εὐρυςθεὺς ἄναξ
ἄξοντα τούςδε· πολλὰ δ' ἦλθον, ὦ ξένε,
δίκαι' ἁμαρτῆι δρᾶν τε καὶ λέγειν ἔχων.
Ἀργεῖος ὢν γὰρ αὐτὸς Ἀργείους ἄγω
ἐκ τῆς ἐμαυτοῦ τούςδε δραπέτας ἔχων,
νόμοιςι τοῖς ἐκεῖθεν ἐψηφιςμένους
θανεῖν· δίκαιοι δ' ἐςμὲν οἰκοῦντες πόλιν
αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας.
πολλῶν δὲ κἄλλων ἑςτίας ἀφιγμένοι
ἐν τοῖςιν αὐτοῖς τοιςίδ' ἔςταμεν λόγοις,
κοὐδεὶς ἐτόλμης' ἴδια προςθέςθαι κακά.
ἀλλ' ἤ τιν' ἐς cὲ μωρίαν ἐςκεμμένοι
δεῦρ' ἦλθον ἢ κίνδυνον ἐξ ἀμηχάνων
ῥίπτοντες, εἴτ' οὖν εἴτε μὴ γενήςεται
⟨ ⟩.
οὐ γὰρ φρενήρη γ' ὄντα c' ἐλπίζουςί που
μόνον τοςαύτης ἣν ἐπῆλθον Ἑλλάδος

*τὰς τῶνδ' ἀβούλως ςυμφορὰς κατοικτιεῖν.*
*φέρ' ἀντίθες γάρ· τούςδε τ' ἐς γαῖαν παρεὶς*
*ἡμᾶς τ' ἐάςας ἐξάγειν, τί κερδανεῖς;*
*τὰ μὲν παρ' ἡμῶν τοιάδ' ἔςτι ςοι λαβεῖν·*
*Ἄργους τοςήνδε χεῖρα τήν τ' Εὐρυςθέως*
*ἰςχὺν ἅπαςαν τῆιδε προςθέςθαι πόλει.*
*ἢν δ' ἐς λόγους τε καὶ τὰ τῶνδ' οἰκτίςματα*
*βλέψας πεπανθῆις, ἐς πάλην καθίςταται*
*δορὸς τὸ πρᾶγμα· μὴ γὰρ ὡς μεθήςομεν*
*δόξηις ἀγῶνος τούςδ' ἄτερ χαλυβδικοῦ.*
*τί δῆτα φήςεις, ποῖα πεδί' ἀφαιρεθείς,*
*τί ῥυςιαςθείς, πόλεμον Ἀργείοις ἔχειν;*
*ποίοις δ' ἀμύνων ςυμμάχοις, τίνος δ' ὕπερ*
*θάψεις νεκροὺς πεςόντας; ἦ κακὸν λόγον*
*κτήςηι πρὸς ἀςτῶν, εἰ γέροντος οὕνεκα*
*τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,*
*παίδων ⟨τε⟩ τῶνδ' ἐς ἄντλον ἐμβήςηι πόδα.*
*†ἐρεῖς τὸ λῶιςτον ἐλπίδ' εὑρήςειν μόνον†·*
*καὶ τοῦτο πολλῶι τοῦ παρόντος ἐνδεές.*
*κακῶς γὰρ Ἀργείοιςιν οἵδ' ὡπλιςμένοις*
*μάχοιντ' ἂν ἡβήςαντες, εἴ ⟨τι⟩ τοῦτό ςε*
*ψυχὴν ἐπαίρει· χοὑν μέςωι πολὺς χρόνος*
*ἐν ὧι διεργαςθεῖτ' ἄν. ἀλλ' ἐμοὶ πιθοῦ·*
*δοὺς μηδὲν ἀλλὰ τἄμ' ἐῶν ἄγειν ἐμὲ*
*κτῆςαι Μυκήνας, μηδ' ὅπερ φιλεῖτε δρᾶν*
*πάθηις ςὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν*
*φίλους ἑλέςθαι τοὺς κακίονας λαβεῖν.*

Χο. τίς ἂν δίκην κρίνειεν ἢ γνοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθηι σαφῶς;
Ιο. ἄναξ, ὑπάρχει γὰρ τόδ' ἐν τῆι σῆι χθονί,
εἰπεῖν ἀκοῦσαί τ' ἐν μέρει πάρεστί μοι,
κοὐδείς μ' ἀπώσει πρόσθεν ὥσπερ ἄλλοθεν.
ἡμῖν δὲ καὶ τῶιδ' οὐδέν ἐστιν ἐν μέσωι·
ἐπεὶ γὰρ Ἄργους οὐ μέτεσθ' ἡμῖν ἔτι,
ψήφωι δοκῆσαν, ἀλλὰ φεύγομεν πάτραν,
πῶς ἂν δικαίως ὡς Μυκηναίους ἄγοι
ὅδ' ὄντας ἡμᾶς, οὓς ἀπήλασαν χθονός;
ξένοι γάρ ἐσμεν. ἢ τὸν Ἑλλήνων ὅρον
φεύγειν δικαιοῦθ' ὅστις ἂν τἄργος φύγηι;
οὔκουν Ἀθήνας γ'· οὐ γὰρ Ἀργείων φόβωι
τοὺς Ἡρακλείους παῖδας ἐξελῶσι γῆς.
οὐ γάρ τι Τραχίς ἐστιν οὐδ' Ἀχαιικὸν
πόλισμ' ὅθεν σὺ τούσδε, τῆι δίκηι μὲν οὔ,
τὸ δ' Ἄργος ὀγκῶν, οἷάπερ καὶ νῦν λέγεις,
ἤλαυνες ἱκέτας βωμίους καθημένους.
εἰ γὰρ τόδ' ἔσται καὶ λόγους κρινοῦσι σούς,
οὐκ οἶδ' Ἀθήνας τάσδ' ἐλευθέρας ἔτι.
ἀλλ' οἶδ' ἐγὼ τὸ τῶνδε λῆμα καὶ φύσιν·
θνήισκειν θελήσουσ'· ἡ γὰρ αἰσχύνη ⟨πάρος⟩
τοῦ ζῆν παρ' ἐσθλοῖς ἀνδράσιν νομίζεται.
πόλει μὲν ἀρκεῖ· καὶ γὰρ οὖν ἐπίφθονον
λίαν ἐπαινεῖν ἐστι, πολλάκις δὲ δὴ
καὐτὸς βαρυνθεὶς οἶδ' ἄγαν αἰνούμενος.
σοὶ δ' ὡς ἀνάγκη τούσδε βούλομαι φράσαι
σώιζειν, ἐπείπερ τῆσδε προστατεῖς χθονός.

Πιτθεὺϲ μέν ἐϲτι Πέλοποϲ, ἐκ δὲ Πιτθέωϲ
Αἴθρα, πατὴρ δ' ἐκ τῆϲδε γεννᾶται ϲέθεν
Θηϲεύϲ. πάλιν δὲ τῶνδ' ἄνειμί ϲοι γένοϲ·
Ἡρακλέηϲ ἦν Ζηνὸϲ Ἀλκμήνηϲ τε παῖϲ,
κείνη δὲ Πέλοποϲ θυγατρόϲ· αὐτανεψίων
πατὴρ ἂν εἴη ϲόϲ τε χὠ τούτων γεγώϲ.
γένουϲ μὲν ἥκειϲ ὧδε τοῖϲδε, Δημοφῶν·
ἃ δ' ἐκτὸϲ ἤδη τοῦ προϲήκοντόϲ ϲε δεῖ
τεῖϲαι λέγω ϲοι παιϲί. φημὶ γάρ ποτε
ϲύμπλουϲ γενέϲθαι τῶνδ' ὑπαϲπίζων πατρὶ
ζωϲτῆρα Θηϲεῖ τὸν πολυκτόνον μέτα
〈 〉
〈 〉
Ἅιδου τ' ἐρεμνῶν ἐξανήγαγεν μυχῶν
πατέρα ϲόν· Ἑλλὰϲ πᾶϲα τοῦτο μαρτυρεῖ.
ὧν ἀντιδοῦναί ϲ' οἵδ' ἀπαιτοῦϲιν χάριν,
μήτ' ἐκδοθῆναι μήτε πρὸϲ βίαν θεῶν
τῶν ϲῶν ἀποϲπαϲθέντεϲ ἐκπεϲεῖν χθονόϲ.
ϲοὶ γὰρ τόδ' αἰϲχρὸν χωρὶϲ ἐν πόλει τ' ἴϲον,
ἱκέταϲ ἀλήταϲ ϲυγγενεῖϲ—οἴμοι κακῶν·
βλέψον πρὸϲ αὐτούϲ, βλέψον—ἕλκεϲθαι βίαι.
ἀλλ' ἄντομαί ϲε καὶ καταϲτέφων χεροῖν
καὶ πρὸϲ γενείου, μηδαμῶϲ ἀτιμάϲηιϲ
τοὺϲ Ἡρακλείουϲ παῖδαϲ ἐϲ χέραϲ λαβεῖν·
γενοῦ δὲ τοῖϲδε ϲυγγενήϲ, γενοῦ φίλοϲ
πατὴρ ἀδελφὸϲ δεϲπότηϲ· ἅπαντα γὰρ
τἄλλ' ἐϲτὶ κρείϲϲω πλὴν ὑπ' Ἀργείοιϲ πεϲεῖν.
Χο. ᾤκτιρ' ἀκούϲαϲ τούϲδε ϲυμφορᾶϲ, ἄναξ.
τὴν δ' εὐγένειαν τῆϲ τύχηϲ νικωμένην

νῦν δὴ μάλιστ᾽ ἐςεῖδον· οἵδε γὰρ πατρὸς
ἐcθλοῦ γεγῶτες δυςτυχοῦς᾽ ἀναξίως.
Δη. τριςςαί μ᾽ ἀναγκάζουςι ςυννοίας ὁδοί,
᾽Ιόλαε, τοὺς ςοὺς μὴ παρώςαςθαι λόγους·
τὸ μὲν μέγιςτον Ζεὺς ἐφ᾽ οὗ ςὺ βώμιος
θακεῖς νεοςςῶν τήνδ᾽ ἔχων πανήγυριν,
τὸ ςυγγενές τε καὶ τὸ προυφείλειν καλῶς
πράςςειν παρ᾽ ἡμῶν τούςδε πατρῴαν χάριν,
τό τ᾽ αἰςχρόν, οὗπερ δεῖ μάλιςτα φροντίςαι·
εἰ γὰρ παρήςω τόνδε ςυλᾶςθαι βίαι
ξένου πρὸς ἀνδρὸς βωμόν, οὐκ ἐλευθέραν
οἰκεῖν δοκήςω γαῖαν, ᾽Αργείων δ᾽ ὄκνωι
ἱκέτας προδοῦναι· καὶ τάδ᾽ ἀγχόνης πέλας.
ἀλλ᾽ ὤφελες μὲν εὐτυχέςτερος μολεῖν,
ὅμως δὲ καὶ νῦν μὴ τρέςηις ὅπως ςέ τις
ςὺν παιςὶ βωμοῦ τοῦδ᾽ ἀποςπάςει βίαι.
ςὺ δ᾽ ῎Αργος ἐλθὼν ταῦτά τ᾽ Εὐρυςθεῖ φράςον
πρὸς τοῖςδέ τ᾽, εἴ τι τοιςίδ᾽ ἐγκαλεῖ ξένοις,
δίκης κυρήςειν· τούςδε δ᾽ οὐκ ἄξεις ποτέ.
Κη. οὐκ ἢν δίκαιον ἦι τι καὶ νικῶ λόγωι;
Δη. καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίαι;
Κη. οὔκουν ἐμοὶ τόδ᾽ αἰςχρὸν ἀλλ᾽ οὐ ςοὶ βλάβος;
Δη. ἐμοί γ᾽, ἐάν ςοι τούςδ᾽ ἐφέλκεςθαι μεθῶ.
Κη. ςὺ δ᾽ ἐξόριζε κἆιτ᾽ ἐκεῖθεν ἄξομεν.
Δη. ςκαιὸς πέφυκας τοῦ θεοῦ πλείω φρονῶν.
Κη. δεῦρ᾽, ὡς ἔοικε, τοῖς κακοῖςι φευκτέον.
Δη. ἅπαςι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.
Κη. ταῦτ᾽ οὐ δοκήςει τοῖς Μυκηναίοις ἴςως.

Δη. οὔκουν ἐγὼ τῶν ἐνθάδ' εἰμὶ κύριος;
Κη. βλάπτων ⟨γ'⟩ ἐκείνους μηδέν, ἢν cὺ cωφρονῇc.
Δη. βλάπτεcθ', ἐμοῦ γε μὴ μιαίνοντος θεούς.
Κη. οὐ βούλομαί cε πόλεμον Ἀργείοις ἔχειν.
Δη. κἀγὼ τοιοῦτος· τῶνδε δ' οὐ μεθήcομαι.
Κη. ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.
Δη. οὐκ ἆρ' ἐς Ἄργος ῥαιδίως ἄπει πάλιν.
Κη. πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴcομαι.
Δη. κλαίων ἄρ' ἅψηι τῶνδε κοὐκ ἐς ἀμβολάς.
Χο. μὴ πρὸς θεῶν κήρυκα τολμήcηις θενεῖν.
Δη. εἰ μή γ' ὁ κῆρυξ cωφρονεῖν μαθήcεται.
Χο. ἄπελθε· καὶ cὺ τοῦδε μὴ θίγηις, ἄναξ.
Κη. cτείχω· μιᾶς γὰρ χειρὸς ἀcθενὴς μάχη.
ἥξω δὲ πολλὴν Ἄρεος Ἀργείου λαβὼν
πάγχαλκον αἰχμὴν δεῦρο. μυρίοι δέ με
μένουcιν ἀcπιcτῆρες Εὐρυcθεύς τ' ἄναξ
αὐτὸς cτρατηγῶν· Ἀλκάθου δ' ἐπ' ἐcχάτοις
καραδοκῶν τἀνθένδε τέρμαcιν μένει.
λαμπρὸς δ' ἀκούcας cὴν ὕβριν φανήcεται
cοὶ καὶ πολίταις γῆι τε τῆιδε καὶ φυτοῖς·
μάτην γὰρ ἥβην ὧδέ γ' ἂν κεκτήιμεθα
πολλὴν ἐν Ἄργει, μή cε τιμωρούμενοι.
Δη. φθείρου· τὸ cὸν γὰρ Ἄργος οὐ δέδοικ' ἐγώ.
ἐνθένδε δ' οὐκ ἔμελλες αἰcχύνας ἐμὲ
ἄξειν βίαι τούcδ'· οὐ γὰρ Ἀργείων πόλιν
ὑπήκοον τήνδ' ἀλλ' ἐλευθέραν ἔχω.

Χο. ὥρα προνοεῖν, πρὶν ὅροις πελάcαι
cτρατὸν Ἀργείων·
μάλα δ' ὀξὺς Ἄρης ὁ Μυκηναίων,
ἐπὶ τοῖcι δὲ δὴ μᾶλλον ἔτ' ἢ πρίν.

πᾶσι γὰρ οὗτος κήρυξι νόμος,
δὶς τόσα πυργοῦν τῶν γιγνομένων.
πόσα νιν λέξειν βασιλεῦσι δοκεῖς,
ὡς δείν' ἔπαθεν καὶ παρὰ μικρὸν
ψυχὴν ἦλθεν διακναῖσαι;

*Ιο.* οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι
[γαμεῖν τ' ἀπ' ἐσθλῶν· ὃς δὲ νικηθεὶς πόθωι
κακοῖς ἐκοινώνησεν οὐκ ἐπαινέσω,
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν]·
τὸ δυστυχὲς γὰρ ηὑγένει' ἀμύνεται
τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ κακῶν
ἐς τοὔσχατον πεσόντες ηὕρομεν φίλους
καὶ ξυγγενεῖς τούσδ', οἳ τοσῆσδ' οἰκουμένης
Ἑλληνίδος γῆς τῶνδε προὔστησαν μόνοι.
δότ', ὦ τέκν', αὐτοῖς χεῖρα δεξιάν, δότε,
ὑμεῖς τε παισί, καὶ πέλας προσέλθετε.
ὦ παῖδες, ἐς μὲν πεῖραν ἤλθομεν φίλων·
ἢν δ' οὖν ποθ' ὑμῖν νόστος ἐς πάτραν φανῆι
καὶ δώματ' οἰκήσητε καὶ τιμὰς πατρὸς
⟨ ⟩
σωτῆρας αἰεὶ καὶ φίλους νομίζετε,
καὶ μήποτ' ἐς γῆν ἐχθρὸν αἴρεσθαι δόρυ
μέμνησθέ μοι τήνδ', ἀλλὰ φιλτάτην πόλιν
πασῶν νομίζετ'. ἄξιοι δ' ὑμῖν σέβειν

οἳ γῆν τοcήνδε καὶ Πελαcγικὸν λεὼν
ἡμῶν ἀπηλλάξαντο πολεμίους ἔχειν,
πτωχοὺς ἀλήτας εἰcορῶντες ἀλλ' ὅμως
[οὐκ ἐξέδωκαν οὐδ' ἀπήλαcαν χθονός].
ἐγὼ δὲ καὶ ζῶν καὶ θανών, ὅταν θάνω,
πολλῶι c' ἐπαίνωι Θηcέως, ὦ τᾶν, πέλας
ὑψηλὸν ἀρῶ καὶ λέγων τάδ' εὐφρανῶ,
ὥς εὖ τ' ἐδέξω καὶ τέκνοιcιν ἤρκεcας
τοῖς Ἡρακλείοις, εὐγενὴς δ' ἀν' Ἑλλάδα
cώιζεις πατρώιαν δόξαν, ἐξ ἐcθλῶν δὲ φὺς
οὐδὲν κακίων τυγχάνεις γεγὼς πατρός,
παύρων μετ' ἄλλων· ἕνα γὰρ ἐν πολλοῖς ἴcως
εὕροις ἂν ὅcτις ἐcτὶ μὴ χείρων πατρός.

Χο. ἀεί ποθ' ἥδε γαῖα τοῖς ἀμηχάνοις
cὺν τῶι δικαίωι βούλεται προcωφελεῖν.
τοιγὰρ πόνους δὴ μυρίους ὑπὲρ φίλων
ἤνεγκε καὶ νῦν τόνδ' ἀγῶν' ὁρῶ πέλας.

Δη. cοί τ' εὖ λέλεκται καὶ τὰ τῶνδ' αὐχῶ, γέρον,
τοιαῦτ' ἔcεcθαι· μνημονεύcεται χάρις.
κἀγὼ μὲν ἀcτῶν cύλλογον ποιήcομαι,
τάξω δ' ὅπως ἂν τὸν Μυκηναίων cτρατὸν
πολλῆι δέχωμαι χειρί· πρῶτα μὲν cκοποὺς
πέμψω πρὸς αὐτόν, μὴ λάθηι με προcπεcών·
ταχὺς γὰρ Ἄργει πᾶς ἀνὴρ βοηδρόμος·
μάντεις τ' ἀθροίcας θύcομαι. cὺ δ' ἐς δόμους
cὺν παιcὶ χώρει, Ζηνὸς ἐcχάραν λιπών.
εἰcὶν γὰρ οἵ cου, κἂν ἐγὼ θυραῖος ὦ,
μέριμναν ἕξους'. ἀλλ' ἴθ' ἐς δόμους, γέρον.

Ιο. οὐκ ἂν λίποιμι βωμόν, εὐξόμεcθα δὲ
ἱκέται μένοντες ἐνθάδ' εὖ πρᾶξαι πόλιν.

ὅταν δ' ἀγῶνος τοῦδ' ἀπαλλαχθῆις καλῶς,
ἴμεν πρὸς οἴκους. θεοῖςι δ' οὐ κακίοςιν
χρώμεςθα ςυμμάχοιςιν Ἀργείων, ἄναξ·
τῶν μὲν γὰρ Ἥρα προςτατεῖ, Διὸς δάμαρ,
ἡμῶν δ' Ἀθάνα. φημὶ δ' εἰς εὐπραξίαν
καὶ τοῦθ' ὑπάρχειν, θεῶν ἀμεινόνων τυχεῖν·
νικωμένη γὰρ Παλλὰς οὐκ ἀνέξεται.

Χο. εἰ ςὺ μέγ' αὐχεῖς, ἕτεροι [ςτρ.
ςοῦ πλέον οὐ μέλονται,
ξεῖν' ⟨ἀπ'⟩ Ἀργόθεν ἐλθών,
μεγαληγορίαιςι δ' ἐμὰς φρένας οὐ φοβήςεις.
μήπω ταῖς μεγάλαιςιν οὔ-
τω καὶ καλλιχόροις Ἀθά-
ναις εἴη. ςὺ δ' ἄφρων ὅ τ' Ἄρ-
γει Cθενέλου τύραννος·

ὃς πόλιν ἐλθὼν ἑτέραν [ἀντ.
οὐδὲν ἐλάςςον' Ἄργους
θεῶν ἱκτῆρας ἀλάτας
καὶ ἐμᾶς χθονὸς ἀντομένους ξένος ὢν βιαίως
ἕλκεις, οὐ βαςιλεῦςιν εἴ-
ξας, οὐκ ἄλλο δίκαιον εἰ-
πών· ποῦ ταῦτα καλῶς ἂν εἴ-
η παρά γ' εὖ φρονοῦςιν;

εἰρήνα μὲν ἔμοιγ' ἀρέ- [ἐπῳδ.
ςκει· ςοὶ δ', ὦ κακόφρων ἄναξ,
λέγω, εἰ πόλιν ἥξεις,
οὐχ οὕτως ἃ δοκεῖς κυρή-
ςεις· οὐ ςοὶ μόνωι ἔγχος οὐδ'

ἰτέα κατάχαλκός ἐςτιν.
ἀλλ', ὦ πολέμων ἐρα-
 στά, μή μοι δορὶ συνταρά-
 ξηις τὰν εὖ χαρίτων ἔχου-
 σαν πόλιν, ἀλλ' ἀνάςχου.

*Ιο.* ὦ παῖ, τί μοι σύννοιαν ὄμμασιν φέρων
ἥκεις; νέον τι πολεμίων λέξεις πέρι;
μέλλουσιν ἢ πάρεισιν ἢ τί πυνθάνηι;
οὐ γάρ τι μὴ ψεύσηις γε κήρυκος λόγους·
ὁ γὰρ στρατηγὸς εὐτυχὴς τὰ πρόσθεν ὢν
εἶσιν, σάφ' οἶδα, καὶ μάλ' οὐ σμικρὸν φρονῶν
ἐς τὰς Ἀθήνας. ἀλλά τοι φρονημάτων
ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.
*Δη.* ἥκει στράτευμ' Ἀργεῖον Εὐρυσθεύς τ' ἄναξ·
ἐγώ νιν αὐτὸς εἶδον. ἄνδρα γὰρ χρεών,
ὅστις στρατηγεῖν φηςʼ ἐπίστασθαι καλῶς,
οὐκ ἀγγέλοισι τοὺς ἐναντίους ὁρᾶν.
πεδία μὲν οὖν γῆς ἐς τάδ' οὐκ ἐφῆκέ πω
στρατόν, λεπαίαν δ' ὀφρύην καθήμενος
σκοπεῖ (δόκησιν δὴ τόδ' ἂν λέγοιμί σοι)
ποίαι προσάξει στρατόπεδον †τὰ νῦν δορὸς†
ἐν ἀσφαλεῖ τε τῆσδ' ἱδρύσεται χθονός.
καὶ τἀμὰ μέντοι πάντ' ἄραρ' ἤδη καλῶς·
πόλις τ' ἐν ὅπλοις σφάγιά θ' ἡτοιμασμένα

ἕcτηκεν οἷc χρὴ ταῦτα τέμνεcθαι θεῶν, 400
θυηπολεῖται δ' ἄcτυ μάντεων ὕπο. 401
χρηcμῶν δ' ἀοιδοὺc πάνταc εἰc ἓν ἁλίcαc 403
ἤλεγξα καὶ βέβηλα καὶ κεκρυμμένα
[λόγια παλαιὰ τῆιδε γῆι cωτήρια]· 405
καὶ τῶν μὲν ἄλλων διάφορ' ἐcτὶ θεcφάτοιc
πόλλ'· ἓν δὲ πᾶcι γνῶμα ταὐτὸν ἐμπρέπει·
cφάξαι κελεύουcίν με παρθένον κόρηι
Δήμητροc, ἥτιc ἐcτὶ πατρὸc εὐγενοῦc, 409
τροπαῖά τ' ἐχθρῶν καὶ πόλει cωτηρίαν. 402
ἐγὼ δ' ἔχω μέν, ὡc ὁρᾶιc, προθυμίαν 410
τοcήνδ' ἐc ὑμᾶc· παῖδα δ' οὔτ' ἐμὴν κτενῶ
οὔτ' ἄλλον ἀcτῶν τῶν ἐμῶν ἀναγκάcω
ἄκονθ'· ἑκὼν δὲ τίc κακῶc οὕτω φρονεῖ,
ὅcτιc τὰ φίλτατ' ἐκ χερῶν δώcει τέκνα;
καὶ νῦν πυκνὰc ἂν cυcτάcειc ἂν εἰcίδοιc, 415
τῶν μὲν λεγόντων ὡc δίκαιοc ἦ ξένοιc
ἱκέταιc ἀρήγειν, τῶν δὲ μωρίαν ἐμοῦ
κατηγορούντων· εἰ δὲ δὴ δράcω τόδε,
οἰκεῖοc ἤδη πόλεμοc ἐξαρτύεται.
ταῦτ' οὖν ὅρα cὺ καὶ cυνεξεύριcχ' ὅπωc 420
αὐτοί τε cωθήcεcθε καὶ πέδον τόδε,
κἀγὼ πολίταιc μὴ διαβληθήcομαι.
οὐ γὰρ τυραννίδ' ὥcτε βαρβάρων ἔχω·
ἀλλ', ἢν δίκαια δρῶ, δίκαια πείcομαι.

*Χο.* ἀλλ' ἦ πρόθυμον οὖcαν οὐκ ἐᾶι θεὸc 425
ξένοιc ἀρήγειν τήνδε χρήιζουcιν πόλιν;

Ιο. ὦ τέκν᾽, ἔοιγμεν ναυτίλοισιν οἵτινες
χειμῶνος ἐκφυγόντες ἄγριον μένος
ἐς χεῖρα γῆι συνῆψαν, εἶτα χερσόθεν
πνοαῖσιν ἠλάθησαν ἐς πόντον πάλιν.
οὕτω δὲ χἠμεῖς τῆσδ᾽ ἀπωθούμεσθα γῆς
ἤδη πρὸς ἀκταῖς ὄντες ὡς σεσωμένοι.
οἴμοι· τί δῆτ᾽ ἔτερψας ὦ τάλαινά με
ἐλπὶς τότ᾽, οὐ μέλλουσα διατελεῖν χάριν;
συγγνωστὰ γάρ τοι καὶ τὰ τοῦδ᾽, εἰ μὴ θέλει
κτείνειν πολιτῶν παῖδας, αἰνέσαι δ᾽ ἔχω
καὶ τἀνθάδ᾽· εἰ θεοῖσι δὴ δοκεῖ τάδε
πράσσειν ἔμ᾽, οὔτοι σοί γ᾽ ἀπόλλυται χάρις.
ὦ παῖδες, ὑμῖν δ᾽ οὐκ ἔχω τί χρήσομαι.
ποῖ τρεψόμεσθα; τίς γὰρ ἄστεπτος θεῶν;
ποῖον δὲ γαίας ἕρκος οὐκ ἀφίγμεθα;
ὀλούμεθ᾽, ὦ τέκν᾽, ἐκδοθησόμεσθα δή.
κἀμοῦ μὲν οὐδὲν εἴ με χρὴ θανεῖν μέλει,
πλὴν εἴ τι τέρψω τοὺς ἐμοὺς ἐχθροὺς θανών·
ὑμᾶς δὲ κλαίω καὶ κατοικτίρω, τέκνα,
καὶ τὴν γεραιὰν μητέρ᾽ Ἀλκμήνην πατρός.
ὦ δυστάλαινα τοῦ μακροῦ βίου σέθεν,
τλήμων δὲ κἀγὼ πολλὰ μοχθήσας μάτην.
χρῆν χρῆν ἄρ᾽ ἡμᾶς ἀνδρὸς εἰς ἐχθροῦ χέρας
πεσόντας αἰσχρῶς καὶ κακῶς λιπεῖν βίον.
ἀλλ᾽ οἶσθ᾽ ὅ μοι σύμπραξον· οὐχ ἅπασα γὰρ
πέφευγεν ἐλπὶς τῶνδέ μοι σωτηρίας.
ἔμ᾽ ἔκδος Ἀργείοισιν ἀντὶ τῶνδ᾽, ἄναξ,
καὶ μήτε κινδύνευε σωθήτω τέ μοι
τέκν᾽· οὐ φιλεῖν δεῖ τὴν ἐμὴν ψυχήν· ἴτω.
μάλιστα δ᾽ Εὐρυσθεύς με βούλοιτ᾽ ἂν λαβὼν

τὸν Ἡράκλειον cύμμαχον καθυβρίcαι·
cκαιὸc γὰρ ἀνήρ. τοῖc cοφοῖc δ' εὐκτὸν cοφῶι
ἔχθραν cυνάπτειν, μὴ ἀμαθεῖ φρονήματι·
πολλῆc γὰρ αἰδοῦc καὶ δίκηc τιc ἂν τύχοι.

Χο. ὦ πρέcβυ, μή νυν τήνδ' ἐπαιτιῶ πόλιν·
τάχ' ἂν γὰρ ἡμῖν ψευδὲc ἀλλ' ὅμωc κακὸν
γένοιτ' ὄνειδοc ὡc ξένουc προυδώκαμεν.

Δη. γενναῖα μὲν τάδ' εἶπαc ἀλλ' ἀμήχανα.
οὐ coῦ χατίζων δεῦρ' ἄναξ cτρατηλατεῖ·
τί γὰρ γέροντοc ἀνδρὸc Εὐρυcθεῖ πλέον
θανόντοc; ἀλλὰ τούcδε βούλεται κτανεῖν.
δεινὸν γὰρ ἐχθροῖc βλαcτάνοντεc εὐγενεῖc,
νεανίαι τε καὶ πατρὸc μεμνημένοι
λύμηc· ἃ κεῖνον πάντα προcκοπεῖν χρεών.
ἀλλ' εἴ τιν' ἄλλην οἶcθα καιριωτέραν
βουλὴν ἑτοίμαζ', ὡc ἔγωγ' ἀμήχανοc
χρηcμῶν ἀκούcαc εἰμὶ καὶ φόβου πλέωc.

ΠΑΡΘΕΝΟC

ξένοι, θράcοc μοι μηδὲν ἐξόδοιc ἐμαῖc
προcθῆτε· πρῶτον γὰρ τόδ' ἐξαιτήcομαι·
γυναικὶ γὰρ cιγή τε καὶ τὸ cωφρονεῖν
κάλλιcτον εἴcω θ' ἥcυχον μένειν δόμων.
τῶν cῶν δ' ἀκούcαc, Ἰόλεωc, cτεναγμάτων
ἐξῆλθον, οὐ ταχθεῖcα πρεcβεύειν γένουc,
ἀλλ', εἰμὶ γάρ πωc πρόcφοροc, μέλει δέ μοι
μάλιcτ' ἀδελφῶν τῶνδε κἀμαυτῆc πέρι,
θέλω πυθέcθαι μὴ 'πὶ τοῖc πάλαι κακοῖc
προcκείμενόν τι πῆμα cὴν δάκνει φρένα.

Ιο. ὦ παῖ, μάλιcτα c' οὐ νεωcτὶ δὴ τέκνων
τῶν Ἡρακλείων ἐνδίκωc αἰνεῖν ἔχω.

ἡμῖν δὲ δόξας εὖ προχωρῆσαι δρόμος
πάλιν μεθέστηκ᾽ αὖθις ἐς τἀμήχανον·
χρησμῶν γὰρ ᾠδούς φησι σημαίνειν ὅδε
οὐ ταῦρον οὐδὲ μόσχον ἀλλὰ παρθένον
σφάξαι κόρηι Δήμητρος ἥτις εὐγενής,
εἰ χρὴ μὲν ἡμᾶς, χρὴ δὲ τήνδ᾽ εἶναι πόλιν.
ταῦτ᾽ οὖν ἀμηχανοῦμεν· οὔτε γὰρ τέκνα
σφάξειν ὅδ᾽ αὑτοῦ φησιν οὔτ᾽ ἄλλου τινός.
κἀμοὶ λέγει μὲν οὐ σαφῶς, λέγει δέ πως,
εἰ μή τι τούτων ἐξαμηχανήσομεν,
ἡμᾶς μὲν ἄλλην γαῖαν εὑρίσκειν τινά,
αὐτὸς δὲ σῶσαι τήνδε βούλεσθαι χθόνα.
Πα. ἐν τῶιδε κἀχόμεσθα σωθῆναι λόγωι;
Ιο. ἐν τῶιδε, τἄλλα γ᾽ εὐτυχῶς πεπραγότες.
Πα. μή νυν τρέσῃς ἔτ᾽ ἐχθρὸν Ἀργείων δόρυ·
ἐγὼ γὰρ αὐτὴ πρὶν κελευσθῆναι, γέρον,
θνήισκειν ἑτοίμη καὶ παρίστασθαι σφαγῆι.
τί φήσομεν γάρ, εἰ πόλις μὲν ἀξιοῖ
κίνδυνον ἡμῶν οὕνεκ᾽ αἵρεσθαι μέγαν,
αὐτοὶ δὲ προστιθέντες ἄλλοισιν πόνους,
παρόν σφε σῶσαι, φευξόμεσθα μὴ θανεῖν;
οὐ δῆτ᾽, ἐπεί τοι καὶ γέλωτος ἄξια,
στένειν μὲν ἱκέτας δαιμόνων καθημένους,
πατρὸς δ᾽ ἐκείνου φύντας οὗ πεφύκαμεν
κακοὺς ὁρᾶσθαι· ποῦ τάδ᾽ ἐν χρηστοῖς πρέπει;
κάλλιον, οἶμαι, τῆσδ᾽—ὃ μὴ τύχοι ποτέ—
πόλεως ἁλούσης χεῖρας εἰς ἐχθρῶν πεσεῖν
κἄπειτ᾽ ἄτιμα πατρὸς οὖσαν εὐγενοῦς

παθοῦσαν Ἅιδην μηδὲν ἧccον εἰcιδεῖν.
ἀλλ' ἐκπεcοῦcα τῆcδ' ἀλητεύcω χθονός;
κοὐκ αἰcχυνοῦμαι δῆτ', ἐὰν δή τιc λέγηι
Τί δεῦρ' ἀφίκεcθ' ἱκεcίοιcι cὺν κλάδοιc
αὐτοὶ φιλοψυχοῦντεc; ἔξιτε χθονόc·
κακοῖc γὰρ ἡμεῖc οὐ προcωφελήcομεν.
ἀλλ' οὐδὲ μέντοι, τῶνδε μὲν τεθνηκότων,
αὐτὴ δὲ cωθεῖc', ἐλπίδ' εὖ πράξειν ἔχω·
πολλοὶ γὰρ ἤδη τῆιδε προύδοcαν φίλουc.
τίc γὰρ κόρην ἔρημον ἢ δάμαρτ' ἔχειν
ἢ παιδοποιεῖν ἐξ ἐμοῦ βουλήcεται;
οὔκουν θανεῖν ἄμεινον ἢ τούτων τυχεῖν
ἀναξίαν; ἄλληι δὲ κἂν πρέποι τινὶ
μᾶλλον τάδ', ἥτιc μὴ 'πίcημοc ὡc ἐγώ.
ἡγεῖcθ' ὅπου δεῖ cῶμα κατθανεῖν τόδε
καὶ cτεμματοῦτε καὶ †κατάρχεcθ' εἰ δοκεῖ†·
νικᾶτε δ' ἐχθρούc· ἥδε γὰρ ψυχὴ πάρα
ἑκοῦcα κοὐκ ἄκουcα, κἀξαγγέλλομαι
θνήιcκειν ἀδελφῶν τῶνδε κἀμαυτῆc ὕπερ.
εὕρημα γάρ τοι μὴ φιλοψυχοῦc' ἐγὼ
κάλλιcτον ηὕρηκ', εὐκλεῶc λιπεῖν βίον.

*Χο.* φεῦ φεῦ, τί λέξω παρθένου μέγαν λόγον
κλύων, ἀδελφῶν ἣ πάροc θέλει θανεῖν;
τούτων τίc ἂν λέξειε γενναίουc λόγουc
μᾶλλον, τίc ἂν δράcειεν ἀνθρώπων ἔτι;

*Ιο.* ὦ τέκνον, οὐκ ἔcτ' ἄλλοθεν τὸ cὸν κάρα
ἀλλ' ἐξ ἐκείνου· cπέρμα τῆc θείαc φρενὸc
πέφυκαc Ἡράκλειον· οὐδ' αἰcχύνομαι
τοῖc cοῖc λόγοιcι, τῆι τύχηι δ' ἀλγύνομαι.
ἀλλ' ἧι γένοιτ' ἂν ἐνδικωτέρωc φράcω·
πάcαc ἀδελφὰc τῆcδε δεῦρο χρὴ καλεῖν,

κἆιθ' ἡ λαχοῦcα θνῃcκέτω γένουc ὕπερ·
cὲ δ' οὐ δίκαιον κατθανεῖν ἄνευ πάλου.
Πα. οὐκ ἂν θάνοιμι τῆι τύχηι λαχοῦc' ἐγώ·
χάριc γὰρ οὐ πρόcεcτι· μὴ λέξῃc, γέρον.
ἀλλ', εἰ μὲν ἐνδέχεcθε καὶ βούλεcθέ μοι
χρῆcθαι προθύμωι, τὴν ἐμὴν ψυχὴν ἐγὼ
δίδωμ' ἑκοῦcα τοῖcδ', ἀναγκαcθεῖcα δ' οὔ.
Ιο. φεῦ·
ὅδ' αὖ λόγοc coι τοῦ πρὶν εὐγενέcτεροc,
κἀκεῖνοc ἦν ἄριcτοc· ἀλλ' ὑπερφέρειc
τόλμηι τε τόλμαν καὶ λόγωι χρηcτῶι λόγον.
οὐ μὴν κελεύω γ' οὐδ' ἀπεννέπω, τέκνον,
θνήιcκειν c'· ἀδελφοὺc ⟨δ'⟩ ὠφελεῖc θανοῦcα coύc.
Πα. cοφῶc †κελεύειc†· μὴ τρέcῃc μιάcματοc
τοὐμοῦ μεταcχεῖν, ἀλλ' ἐλευθέρωc θάνω, 559
ἐπεὶ cφαγῆc γε πρὸc τὸ δεινὸν εἶμ' ἐγώ, 562
εἴπερ πέφυκα πατρὸc οὗπερ εὔχομαι. 563
ἕπου δέ, πρέcβυ· cῆι γὰρ ἐνθανεῖν χερὶ 560
θέλω, πέπλοιc δὲ cῶμ' ἐμὸν κρύψον παρών. 561
Ιο. οὐκ ἂν δυναίμην cῶι παρεcτάναι μόρωι. 564
Πα. cὺ δ' ἀλλὰ τοῦδε χρῆιζε, μή μ' ἐν ἀρcένων 565
ἀλλ' ἐν γυναικῶν χερcὶν ἐκπνεῦcαι βίον.
Δη. ἔcται τάδ', ὦ τάλαινα παρθένων, ἐπεὶ
κἀμοὶ τόδ' αἰcχρόν, μή cε κοcμεῖcθαι καλῶc,
πολλῶν ἕκατι, τῆc τε cῆc εὐψυχίαc
καὶ τοῦ δικαίου. τλημονεcτάτην δέ cε
παcῶν γυναικῶν εἶδον ὀφθαλμοῖc ἐγώ.
ἀλλ', εἴ τι βούληι, τούcδε τὸν γέροντά τε
χώρει προcειποῦc' ὑcτάτοιc προcφθέγμαcιν.

Πα. ὦ χαῖρε, πρέσβυ, χαῖρε καὶ δίδασκέ μοι
τοιούσδε τούσδε παῖδας, ἐς τὸ πᾶν σοφούς,
ὥσπερ σύ, μηδὲν μᾶλλον· ἀρκέσουσι γάρ.
πειρῶ δὲ σῶσαι μὴ θανεῖν, πρόθυμος ὤν·
σοὶ παῖδές ἐσμεν, σαῖν χεροῖν τεθράμμεθα·
ὁρᾶις δὲ κἀμὲ τὴν ἐμὴν ὥραν γάμου
διδοῦσαν, ἀντὶ τῶνδε κατθανουμένην.
ὑμεῖς τ', ἀδελφῶν ἡ παροῦσ' ὁμιλία,
εὐδαιμονοῖτε καὶ γένοιθ' ὑμῖν ὅσων
ἡμὴ πάροιθε καρδία σφαλήσεται.
καὶ τὸν γέροντα τήν τ' ἔσω γραῖαν δόμων
τιμᾶτε πατρὸς μητέρ' Ἀλκμήνην ἐμοῦ
ξένους τε τούσδε. κἂν ἀπαλλαγὴ πόνων
καὶ νόστος ὑμῖν εὑρεθῆι ποτ' ἐκ θεῶν,
μέμνησθε τὴν σώτειραν ὡς θάψαι χρεών·
κάλλιστά τοι δίκαιον· οὐ γὰρ ἐνδεὴς
ὑμῖν παρέστην ἀλλὰ προύθανον γένους.
τάδ' ἀντὶ παίδων ἐστί μοι κειμήλια
καὶ παρθενείας, εἴ τι δὴ κατὰ χθονός.
εἴη γε μέντοι μηδέν· εἰ γὰρ ἕξομεν
κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν,
οὐκ οἶδ' ὅποι τις τρέψεται· τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται.

Ιο. ἀλλ', ὦ μέγιστον ἐκπρέπουσ' εὐψυχίαι
πασῶν γυναικῶν, ἴσθι, τιμιωτάτη
καὶ ζῶσ' ὑφ' ἡμῶν καὶ θανοῦσ' ἔσηι πολύ.
καὶ χαῖρε· δυσφημεῖν γὰρ ἅζομαι θεὰν
ἧι σὸν κατῆρκται σῶμα, Δήμητρος κόρην.
ὦ παῖδες, οἰχόμεσθα· λύεται μέλη
λύπηι· λάβεσθε κἀς ἕδραν μ' ἐρείσατε



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/188 UNIVERSITÄT LEIPZIG

αὐτοῦ πέπλοιcι τοῖcδε κρύψαντεc, τέκνα.
ὡc οὔτε τούτοιc ἥδομαι πεπραγμένοιc
χρηcμοῦ τε μὴ κρανθέντοc οὐ βιώcιμον·
μείζων γὰρ ἄτη· cυμφορὰ δὲ καὶ τάδε.

Χο. οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον, [cτρ.
ἄνδρα γενέcθαι·
οὐδὲ τὸν αὐτὸν ἀεὶ 'μβεβάναι δόμον
εὐτυχίαι· παρὰ δ' ἄλλαν ἄλλα
μοῖρα διώκει.
τὸν μὲν ἀφ' ὑψηλῶν βραχὺν ὤικιcε,
τὸν δ' †ἀλήταν† εὐδαίμονα τεύχει.
μόρcιμα δ' οὔτι φυγεῖν θέμιc, οὐ cοφί-
αι τιc ἀπώcεται, ἀλλὰ μάταν ὁ πρό-
θυμοc ἀεὶ πόνον ἕξει.

ἀλλὰ cὺ μὴ προπεcὼν τὰ θεῶν φέρε μηδ'
ὑπεράλγει [ἀντ.
φροντίδα λύπαι·
εὐδόκιμον γὰρ ἔχει θανάτου μέροc
ἁ μελέα πρό τ' ἀδελφῶν καὶ γᾶc,
οὐδ' ἀκλεήc νιν
δόξα πρὸc ἀνθρώπων ὑποδέξεται·
ἁ δ' ἀρετὰ βαίνει διὰ μόχθων.
ἄξια μὲν πατρόc, ἄξια δ' εὐγενί-
αc τάδε γίγνεται· εἰ δὲ cέβειc θανά-
τουc ἀγαθῶν, μετέχω cοι.

ΘΕΡΑΠΩΝ

ὦ τέκνα, χαίρετ᾽· Ἰόλεωϲ δὲ ποῦ γέρων
μήτηρ τε πατρὸϲ τῆϲδ᾽ ἕδραϲ ἀποϲτατεῖ;

Ιο. πάρεϲμεν, οἵα δή γ᾽ ἐμοῦ παρουϲία.
Θε. τί χρῆμα κεῖϲαι καὶ κατηφὲϲ ὄμμ᾽ ἔχειϲ;
Ιο. φροντίϲ τιϲ ἦλθ᾽ οἰκεῖοϲ, ᾗ ϲυνειχόμην.
Θε. ἔπαιρέ νυν ϲεαυτόν, ὄρθωϲον κάρα.
Ιο. γέροντέϲ ἐϲμεν κοὐδαμῶϲ ἐρρώμεθα.
Θε. ἥκω γε μέντοι χάρμα ϲοι φέρων μέγα.
Ιο. τίϲ δ᾽ εἶ ϲύ; ποῦ ϲοι ϲυντυχὼν ἀμνημονῶ;
Θε. Ὕλλου πενέϲτηϲ· οὔ με γιγνώϲκειϲ ὁρῶν;
Ιο. ὦ φίλταθ᾽, ἥκειϲ ἆρα ϲωτὴρ νῷιν βλάβηϲ;
Θε. μάλιϲτα· καὶ πρόϲ γ᾽ εὐτυχεῖϲ τὰ νῦν τάδε.
Ιο. ὦ μῆτερ ἐϲθλοῦ παιδόϲ, Ἀλκμήνην λέγω,
ἔξελθ᾽, ἄκουϲον τοῦδε φιλτάτουϲ λόγουϲ.
πάλαι γὰρ ὠδίνουϲα τῶν ἀφιγμένων
ψυχὴν ἐτήκου νόϲτοϲ εἰ γενήϲεται.

ΑΛΚΜΗΝΗ

τί χρῆμ᾽ ἀυτῆϲ πᾶν τόδ᾽ ἐπλήϲθη ϲτέγοϲ,
Ἰόλαε; μῶν τίϲ ϲ᾽ αὖ βιάζεται παρὼν
κῆρυξ ἀπ᾽ Ἄργουϲ; ἀϲθενὴϲ μὲν ἥ γ᾽ ἐμὴ
ῥώμη, τοϲόνδε δ᾽ εἰδέναι ϲε χρή, ξένε·
οὐκ ἔϲτ᾽ ἄγειν ϲε τούϲδ᾽ ἐμοῦ ζώϲηϲ ποτέ.
ἦ τἄρ᾽ ἐκείνου μὴ νομιζοίμην ἐγὼ
μήτηρ ἔτ᾽· εἰ δὲ τῶνδε προϲθίξηι χερί,
δυοῖν γερόντοιν οὐ καλῶϲ ἀγωνιῆι.

Ιο. θάρϲει, γεραιά, μὴ τρέϲηιϲ· οὐκ Ἀργόθεν
κῆρυξ ἀφῖκται πολεμίουϲ λόγουϲ ἔχων.

Αλ. τί γὰρ βοὴν ἔστησας ἄγγελον φόβου;
Ιο. cὺ πρόcθε ναοῦ τοῦδ' ὅπως βαίης πέλας.
Αλ. οὐκ ἴcμεν ἡμεῖc ταῦτα· τίc γάρ ἐcθ' ὅδε;
Ιο. ἥκοντα παῖδα παιδὸc ἀγγέλλει cέθεν.
Αλ. ὦ χαῖρε καὶ cὺ τοῖcδε τοῖc ἀγγέλμαcιν.
ἀτὰρ τί χώραι τῆιδε προcβαλὼν πόδα
ποῦ νῦν ἄπεcτι; τίc νιν εἶργε cυμφορὰ
cὺν coὶ φανέντα δεῦρ' ἐμὴν τέρψαι φρένα;
Θε. cτρατὸν καθίζει τάccεταί θ' ὃν ἦλθ' ἔχων.
Αλ. τοῦδ' οὐκέθ' ἡμῖν τοῦ λόγου μέτεcτι δή.
Ιο. μέτεcτιν· ἡμῶν δ' ἔργον ἱcτορεῖν τάδε.
Θε. τί δῆτα βούληι τῶν πεπραγμένων μαθεῖν;
Ιο. πόcον τι πλῆθοc cυμμάχων πάρεcτ' ἔχων;
Θε. πολλούc· ἀριθμὸν δ' ἄλλον οὐκ ἔχω φράcαι.
Ιο. ἴcαcιν, οἶμαι, ταῦτ' Ἀθηναίων πρόμοι.
Θε. ἴcαcι, καὶ δὴ λαιὸν ἕcτηκεν κέραc.
Ιο. ἤδη γὰρ ὡc ἐc ἔργον ὥπλιcται cτρατόc;
Θε. καὶ δὴ παρῆκται cφάγια τάξεων ἕκαc.
Ιο. πόcον τι δ' ἔcτ' ἄπωθεν Ἀργεῖον δόρυ;
Θε. ὥcτ' ἐξορᾶcθαι τὸν cτρατηγὸν ἐμφανῶc.
Ιο. τί δρῶντα; μῶν τάccοντα πολεμίων cτίχαc;
Θε. ἠικάζομεν ταῦτ'· οὐ γὰρ ἐξηκούομεν.
ἀλλ' εἶμ'· ἐρήμουc δεcπόταc τοὐμὸν μέροc
οὐκ ἂν θέλοιμι πολεμίοιcι cυμβαλεῖν.
Ιο. κἄγωγε cὺν coί· ταὐτὰ γὰρ φροντίζομεν,
φίλοιc παρόντεc, ὡc ἔοιγμεν, ὠφελεῖν.
Θε. ἥκιcτα πρὸc coῦ μῶρον ἦν εἰπεῖν ἔποc.

Ιο. καὶ μὴ μετασχεῖν γ' ἀλκίμου μάχης φίλοις. 683
Θε. οὐκ ἔστιν, ὦ τᾶν, ἥ ποτ' ἦν ῥώμη σέθεν. 688
Ιο. ἀλλ' οὖν μαχοῦμαί γ' ἀριθμὸν οὐκ ἐλάσσοσιν. 689
Θε. σμικρὸν τὸ σὸν σήκωμα προστίθης φίλοις. 690
Ιο. οὐδεὶς ἔμ' ἐχθρῶν προσβλέπων ἀνέξεται. 687
Θε. οὐκ ἔστ' ἐν ὄψει τραῦμα μὴ δρώσης χερός. 684
Ιο. τί δ'; οὐ θένοιμι κἂν ἐγὼ δι' ἀσπίδος; 685
Θε. θένοις ἄν, ἀλλὰ πρόσθεν αὐτὸς ἂν πέσοις. 686
Ιο. μή τοί μ' ἔρυκε δρᾶν παρεσκευασμένον. 691
Θε. δρᾶν μὲν σύ γ' οὐχ οἷός τε, βούλεσθαι δ' ἴσως.
Ιο. ὡς μὴ μενοῦντι τἄλλα σοι λέγειν πάρα.
Θε. πῶς οὖν ὁπλίτης τευχέων ἄτερ φανῇ;
Ιο. ἔστ' ἐν δόμοισιν ἔνδον αἰχμάλωθ' ὅπλα
τοῖσδ', οἷσι χρησόμεσθα· κἀποδώσομεν
ζῶντες, θανόντας δ' οὐκ ἀπαιτήσει θεός.
ἀλλ' εἴσιθ' εἴσω κἀπὸ πασσάλων ἑλὼν
ἔνεγχ' ὁπλίτην κόσμον ὡς τάχιστά μοι.
αἰσχρὸν γὰρ οἰκούρημα γίγνεται τόδε,
τοὺς μὲν μάχεσθαι, τοὺς δὲ δειλίαι μένειν.

Χο. λῆμα μὲν οὔπω στόρνυσι χρόνος
τὸ σόν, ἀλλ' ἡβᾶι, σῶμα δὲ φροῦδον.
τί πονεῖς ἄλλως ἃ σὲ μὲν βλάψει,
σμικρὰ δ' ὀνήσει πόλιν ἡμετέραν;
χρὴ γνωσιμαχεῖν σὴν ἡλικίαν,
τὰ δ' ἀμήχαν' ἐᾶν· οὐκ ἔστιν ὅπως
ἥβην κτήσηι πάλιν αὖθις.

Αλ. τί χρῆμα μέλλεις cῶν φρενῶν οὐκ ἔνδον ὢν
λιπεῖν μ᾽ ἔρημον cὺν ⟨τέκνου⟩ τέκνοις ἐμοῖς;
Ιο. ἀνδρῶν γὰρ ἀλκή· coὶ δὲ χρὴ τούτων μέλειν.
Αλ. τί δ᾽; ἢν θάνηις cύ, πῶς ἐγὼ cωθήcομαι;
Ιο. παιδὸς μελήσει παισὶ τοῖς λελειμμένοις.
Αλ. ἢν δ᾽ οὖν, ὃ μὴ γένοιτο, χρήσωνται τύχηι;
Ιο. οἵδ᾽ οὐ προδώσουσίν σε, μὴ τρέσηις, ξένοι.
Αλ. τοσόνδε γάρ τοι θάρσος, οὐδὲν ἄλλ᾽ ἔχω.
Ιο. καὶ Ζηνὶ τῶν σῶν, οἶδ᾽ ἐγώ, μέλει πόνων.
Αλ. φεῦ·
Ζεὺς ἐξ ἐμοῦ μὲν οὐκ ἀκούσεται κακῶς·
εἰ δ᾽ ἐστὶν ὅσιος αὐτὸς οἶδεν εἰς ἐμέ.

Θε. ὅπλων μὲν ἤδη τήνδ᾽ ὁρᾶις παντευχίαν,
φθάνοις δ᾽ ἂν οὐκ ἂν τοῖσδε σὸν κρύπτων δέμας·
ὡς ἐγγὺς ἀγὼν καὶ μάλιστ᾽ Ἄρης στυγεῖ
μέλλοντας· εἰ δὲ τευχέων φοβῆι βάρος,
νῦν μὲν πορεύου γυμνός, ἐν δὲ τάξεσιν
κόσμωι πυκάζου τῶιδ᾽· ἐγὼ δ᾽ οἴσω τέως.
Ιο. καλῶς ἔλεξας· ἀλλ᾽ ἐμοὶ πρόχειρ᾽ ἔχων
τεύχη κόμιζε, χειρὶ δ᾽ ἔνθες ὀξύην,
λαιόν τ᾽ ἔπαιρε πῆχυν, εὐθύνων πόδα.
Θε. ἦ παιδαγωγεῖν γὰρ τὸν ὁπλίτην χρεών;
Ιο. ὄρνιθος οὕνεκ᾽ ἀσφαλῶς πορευτέον.
Θε. εἴθ᾽ ἦσθα δυνατὸς δρᾶν ὅσον πρόθυμος εἶ.
Ιο. ἔπειγε· λειφθεὶς δεινὰ πείσομαι μάχης.
Θε. σύ τοι βραδύνεις, οὐκ ἐγώ, δοκῶν τι δρᾶν.
Ιο. οὔκουν ὁρᾶις μου κῶλον ὡς ἐπείγεται;
Θε. ὁρῶ δοκοῦντα μᾶλλον ἢ σπεύδοντά σε.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/193 UNIVERSITÄT LEIPZIG

Ιο. οὐ ταῦτα λέξεις ἡνίκ' ἂν λεύσσῃς μ' ἐκεῖ...
Θε. τί δρῶντα; βουλοίμην δ' ἂν εὐτυχοῦντά γε.
Ιο. δι' ἀσπίδος θείνοντα πολεμίων τινά.
Θε. εἰ δή ποθ' ἥξομέν γε· τοῦτο γὰρ φόβος.
Ιο. φεῦ·
εἴθ', ὦ βραχίων, οἷον ἡβήσαντά σε
μεμνήμεθ' ἡμεῖς, ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι
τοιοῦτος· οἵαν ἂν τροπὴν Εὐρυσθέως
θείμην· ἐπεί τοι καὶ κακὸς μένειν δόρυ.
ἔστιν δ' ἐν ὄλβωι καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ
τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι καλῶς.

Χο. Γᾶ καὶ παννύχιος σελά- [στρ. α
να καὶ λαμπρόταται θεοῦ
φαεσιμβρότου αὐγαί,
ἀγγελίαν μοι ἐνέγκαι,
ἰαχήσατε δ' οὐρανῶι
καὶ παρὰ θρόνον ἀρχέταν
γλαυκᾶς τ' ἐν Ἀθάνας·
μέλλω τᾶς πατριώτιδος
γᾶς, μέλλω καὶ ὑπὲρ δόμων
ἱκέτας ὑποδεχθεὶς
κίνδυνον πολιῶι τεμεῖν σιδάρωι.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/194 UNIVERSITÄT LEIPZIG

δεινὸν μὲν πόλιν ὡς Μυκή- [ἀντ. α
 νας εὐδαίμονα καὶ δορὸς
πολυαίνετον ἀλκᾶι
μῆνιν ἐμᾶι χθονὶ κεύθειν·
κακὸν δ', ὦ πόλις, εἰ ξένους
ἱκτῆρας παραδώσομεν
κελεύσμασιν Ἄργους.
Ζεύς μοι σύμμαχος, οὐ φοβοῦ-
 μαι, Ζεύς μοι χάριν ἐνδίκως
ἔχει· οὔποτε θνατῶν
ἥσσους ⟨δαίμονες⟩ ἔκ γ' ἐμοῦ φανοῦνται.

ἀλλ', ὦ πότνια, σὸν γὰρ οὖ- [στρ. β
 δας γᾶς καὶ πόλις, ἇς σὺ μά-
 τηρ δέσποινά τε καὶ φύλαξ,
πόρευσον ἄλλαι τὸν οὐ δικαίως
τᾶιδ' ἐπάγοντα δορυσσοῦν
στρατὸν Ἀργόθεν· οὐ γὰρ ἐμᾶι γ' ἀρετᾶι
 δίκαιός εἰμ' ἐκπεσεῖν μελάθρων.

ἐπεί σοι πολύθυτος ἀεὶ [ἀντ. β
 τιμὰ κραίνεται οὐδὲ λά-
 θει μηνῶν φθινὰς ἁμέρα
νέων τ' ἀοιδαὶ χορῶν τε μολπαί.
ἀνεμόεντι δ' ἐπ' ὄχθωι
ὀλολύγματα παννυχίοις ὑπὸ παρ-
θένων ἰαχεῖ ποδῶν κρότοισιν.

ΑΓΓΕΛΟϹ

δέϲποινα, μύθουϲ ϲοί τε †ϲυντομωτάτουϲ
κλύειν ἐμοί τε τῶιδε καλλίϲτουϲ φέρω†·
νικῶμεν ἐχθροὺϲ καὶ τροπαῖ' ἱδρύεται
παντευχίαν ἔχοντα πολεμίων ϲέθεν.

Αλ. ὦ φίλταθ', ἥδε ϲ' ἡμέρα †διήλαϲεν†·
ἠλευθέρωϲαι τοῖϲδε τοῖϲ ἀγγέλμαϲιν.
μιᾶϲ δ' ἔμ' οὔπω ϲυμφορᾶϲ ἐλευθεροῖϲ·
φόβοϲ γὰρ εἴ μοι ζῶϲιν οὓϲ ἐγὼ θέλω.

Αγ. ζῶϲιν, μέγιϲτόν γ' εὐκλεεῖϲ κατὰ ϲτρατόν.

Αλ. ὁ μὲν γέρων †οὐκ ἔϲτιν Ἰόλεωϲ ὅδε†;

Αγ. μάλιϲτα, πράξαϲ γ' ἐκ θεῶν κάλλιϲτα δή.

Αλ. τί δ' ἔϲτι; μῶν τι κεδνὸν ἠγωνίζετο;

Αγ. νέοϲ μεθέϲτηκ' ἐκ γέροντοϲ αὖθιϲ αὖ.

Αλ. θαυμάϲτ' ἔλεξαϲ· ἀλλά ϲ' εὐτυχῆ φίλων
μάχηϲ ἀγῶνα πρῶτον ἀγγεῖλαι θέλω.

Αγ. εἷϲ μου λόγοϲ ϲοι πάντα ϲημανεῖ τάδε.
ἐπεὶ γὰρ ἀλλήλοιϲιν ὁπλίτην ϲτρατὸν
κατὰ ϲτόμ' ἐκτείνοντεϲ ἀντετάξαμεν,
ἐκβὰϲ τεθρίππων Ὕλλοϲ ἁρμάτων πόδα
ἔϲτη μέϲοιϲιν ἐν μεταιχμίοιϲ δορόϲ.
κἄπειτ' ἔλεξεν· Ὦ ϲτρατήγ' ὃϲ Ἀργόθεν
ἥκειϲ, τί τήνδε γαῖαν οὐκ εἰάϲαμεν
⟨ ⟩
⟨ ⟩

καὶ τὰϲ Μυκήναϲ οὐδὲν ἐργάϲηι κακὸν
ἀνδρὸϲ ϲτερήϲαϲ· ἀλλ' ἐμοὶ μόνοϲ μόνωι
μάχην ϲυνάψαϲ, ἢ κτανὼν ἄγου λαβὼν
τοὺϲ Ἡρακλείουϲ παῖδαϲ ἢ θανὼν ἐμοὶ
τιμὰϲ πατρώιουϲ καὶ δόμουϲ ἔχειν ἄφεϲ.
ϲτρατὸϲ δ' ἐπήινεϲ' ἔϲ τ' ἀπαλλαγὰϲ πόνων
καλῶϲ λελέχθαι μῦθον ἔϲ τ' εὐψυχίαν.
ὁ δ' οὔτε τοὺϲ κλύονταϲ αἰδεϲθεὶϲ λόγων
οὔτ' αὐτὸϲ αὑτοῦ δειλίαν ϲτρατηγὸϲ ὢν
ἐλθεῖν ἐτόλμηϲ' ἐγγὺϲ ἀλκίμου δορόϲ,
ἀλλ' ἦν κάκιϲτοϲ· εἶτα τοιοῦτοϲ γεγὼϲ
τοὺϲ Ἡρακλείουϲ ἦλθε δουλώϲων γόνουϲ;
Ὕλλοϲ μὲν οὖν ἀπώιχετ' ἐϲ τάξιν πάλιν·
μάντειϲ δ', ἐπειδὴ μονομάχου δι' ἀϲπίδοϲ
διαλλαγὰϲ ἔγνωϲαν οὐ τελουμέναϲ,
ἔϲφαζον, οὐκ ἔμελλον, ἀλλ' ἀφίεϲαν
λαιμῶν βοείων εὐθὺϲ οὔριον φόνον.
οἱ δ' ἅρματ' εἰϲέβαινον, οἱ δ' ὑπ' ἀϲπίδων
πλευροῖϲ ἔχριμπτον πλεύρ'· Ἀθηναίων δ' ἄναξ
ϲτρατῶι παρήγγελλ' οἷα χρὴ τὸν εὐγενῆ·
Ὦ ξυμπολῖται, τῆι τε βοϲκούϲηι χθονὶ
καὶ τῆι τεκούϲηι νῦν τιν' ἀρκέϲαι χρεών.
ὁ δ' αὖ τό τ' Ἄργοϲ μὴ καταιϲχῦναι θέλειν
καὶ τὰϲ Μυκήναϲ ϲυμμάχουϲ ἐλίϲϲετο.
ἐπεὶ δ' ἐϲήμην' ὄρθιον Τυρϲηνικῆι
ϲάλπιγγι καὶ ϲυνῆψαν ἀλλήλοιϲ μάχην,
πόϲον τιν' αὐχεῖϲ πάταγον ἀϲπίδων βρέμειν,
πόϲον τινὰ ϲτεναγμὸν οἰμωγήν θ' ὁμοῦ;
τὰ πρῶτα μέν νυν πίτυλοϲ Ἀργείου δορὸϲ

ἐρρήξαθ' ἡμᾶς, εἶτ' ἐχώρηςαν πάλιν.
τὸ δεύτερον δὲ ποὺς ἐπαλλαχθεὶς ποδί,
ἀνὴρ δ' ἐπ' ἀνδρὶ ςτάς, ἐκαρτέρει μάχη·
πολλοὶ δ' ἔπιπτον. ἦν δὲ †τοῦ κελεύςματος†
Ὦ τὰς Ἀθήνας—Ὦ τὸν Ἀργείων γύην
ςπείροντες—οὐκ ἀρήξετ' αἰςχύνην πόλει;
μόλις δὲ πάντα δρῶντες οὐκ ἄτερ πόνων
ἐτρεψάμεςθ' Ἀργεῖον ἐς φυγὴν δόρυ.
κἀνταῦθ' ὁ πρέςβυς Ὕλλον ἐξορμώμενον
ἰδών, ὀρέξας ἱκέτευςε δεξιὰν
Ἰόλαος ἐμβῆςαί νιν ἵππειον δίφρον.
λαβὼν δὲ χερςὶν ἡνίας Εὐρυςθέως
πώλοις ἐπεῖχε. τἀπὸ τοῦδ' ἤδη κλύων
λέγοιμ' ἂν ἄλλων, δεῦρό γ' αὐτὸς εἰςιδών.
Παλληνίδος γὰρ ςεμνὸν ἐκπερῶν πάγον
δίας Ἀθάνας, ἅρμ' ἰδὼν Εὐρυςθέως,
ἠράςαθ' Ἥβηι Ζηνί θ' ἡμέραν μίαν
νέος γενέςθαι κἀποτείςαςθαι δίκην
ἐχθρούς. κλύειν δὴ θαύματος πάρεςτί ςοι·
διςςὼ γὰρ ἀςτέρ' ἱππικοῖς ἐπὶ ζυγοῖς
ςταθέντ' ἔκρυψαν ἅρμα λυγαίωι νέφει·
ςὸν δὴ λέγουςι παῖδά γ' οἱ ςοφώτεροι
Ἥβην θ'· ὁ δ' ὄρφνης ἐκ δυςαιθρίου νέων
βραχιόνων ἔδειξεν ἡβητὴν τύπον.
αἱρεῖ δ' ὁ κλεινὸς Ἰόλεως Εὐρυςθέως
τέτρωρον ἅρμα πρὸς πέτραις Cκιρωνίςιν,
δεςμοῖς τε δήςας χεῖρας ἀκροθίνιον
κάλλιςτον ἥκει τὸν ςτρατηλάτην ἄγων

τὸν ὄλβιον πάροιθε. τῆι δὲ νῦν τύχηι
βροτοῖc ἅπαcι λαμπρὰ κηρύccει μαθεῖν,
τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν πρὶν ἂν
θανόντ' ἴδηι τιc· ὡc ἐφήμεροι τύχαι.

Χο. ὦ Ζεῦ τροπαῖε, νῦν ἐμοὶ δεινοῦ φόβου
ἐλεύθερον πάρεcτιν ἦμαρ εἰcιδεῖν.

Αλ. ὦ Ζεῦ, χρόνωι μὲν τἄμ' ἐπεcκέψω κακά,
χάριν δ' ὅμωc coι τῶν πεπραγμένων ἔχω·
καὶ παῖδα τὸν ἐμὸν πρόcθεν οὐ δοκοῦc' ἐγὼ
θεοῖc ὁμιλεῖν νῦν ἐπίcταμαι caφῶc.
ὦ τέκνα, νῦν δὴ νῦν ἐλεύθεροι πόνων,
ἐλεύθεροι δὲ τοῦ κακῶc ὀλουμένου
Εὐρυcθέωc ἔcεcθε καὶ πόλιν πατρὸc
ὄψεcθε, κλήρουc δ' ἐμβατεύcετε χθονὸc
καὶ θεοῖc πατρῴοιc θύcεθ', ὧν ἀπειργμένοι
ξένοι πλανήτην εἴχετ' ἄθλιον βίον.
ἀτὰρ τί κεύθων Ἰόλεωc coφόν ποτε
Εὐρυcθέωc ἐφείcαθ' ὥcτε μὴ κτανεῖν;
λέξον· παρ' ἡμῖν μὲν γὰρ οὐ coφὸν τόδε,
ἐχθροὺc λαβόντα μὴ ἀποτείcαcθαι δίκην.

Αγ. τὸ cὸν προτιμῶν, ὥc νιν ὀφθαλμοῖc ἴδοιc
†κρατοῦντα† καὶ cῆι δεcποτούμενον χερί.
οὐ μὴν ἑκόντα γ' αὐτὸν ἀλλὰ πρὸc βίαν
ἔζευξ' ἀνάγκηι· καὶ γὰρ οὐκ ἐβούλετο
ζῶν ἐc cὸν ἐλθεῖν ὄμμα καὶ δοῦναι δίκην.
ἀλλ', ὦ γεραιά, χαῖρε καὶ μέμνηcό μοι
ὃ πρῶτον εἶπαc ἡνίκ' ἠρχόμην λόγου,
ἐλευθερώcειν μ'· ἐν δὲ τοῖc τοιοῖcδε χρὴ
ἀψευδὲc εἶναι τοῖcι γενναίοιc cτόμα.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/199 UNIVERSITÄT LEIPZIG

Χο. ἐμοὶ χορὸς μὲν ἡδύς, εἰ λίγεια λω- [στρ. α
τοῦ χάρις †ἐνὶ δαΐ†·
ἡδεῖα δ' εὔχαρις Ἀφροδί-
τα· τερπνὸν δέ τι καὶ φίλων
ἄρ' εὐτυχίαν ἰδέσθαι
τῶν πάρος οὐ δοκούντων.
πολλὰ γὰρ τίκτει Μοῖρα τελεσσιδώ-
τειρ' Αἰών τε Χρόνου παῖς.

ἔχεις ὁδόν τιν', ὦ πόλις, δίκαιον· οὐ [ἀντ. α
χρή ποτε τοῦδ' ἀφέσθαι,
τιμᾶν θεούς· ὁ ⟨δὲ⟩ μή σε φά-
σκων ἐγγὺς μανιᾶν ἐλαύ-
νει, δεικνυμένων ἐλέγχων
τῶνδ'· ἐπίσημα γάρ τοι
θεὸς παραγγέλλει, τῶν ἀδίκων παραι-
ρῶν φρονήματος αἰεί.

ἔστιν ἐν οὐρανῶι βεβα- [στρ. β
κὼς ὁ σὸς γόνος, ὦ γεραι-
ά· φεύγω λόγον ὡς τὸν Ἅι-
δα δόμον κατέβα, πυρὸς
δειναῖ φλογὶ σῶμα δαισθείς·
Ἥβας τ' ἐρατὸν χροΐ-
ζει λέχος χρυσέαν κατ' αὐλάν.
ὦ Ὑμέναιε, δισ-
σοὺς παῖδας Διὸς ἠξίωσας.

συμφέρεται τὰ πολλὰ πολ- [ἀντ. β
λοῖς· καὶ γὰρ πατρὶ τῶνδ' Ἀθά-
ναν λέγους' ἐπίκουρον εἶ-
ναι, καὶ τούσδε θεᾶς πόλις
καὶ λαὸς ἔσωσε κείνας·
ἔσχεν δ' ὕβριν ἀνδρὸς ὧι
θυμὸς ἦν πρὸ δίκας βίαιος.
μήποτ' ἐμοὶ φρόνη-
μα ψυχά τ' ἀκόρεστος εἴη.

Θε. δέσποιν', ὁρᾶις μὲν ἀλλ' ὅμως εἰρήσεται·
Εὐρυσθέα σοι τόνδ' ἄγοντες ἥκομεν,
ἄελπτον ὄψιν τῶιδέ τ' οὐχ ἧσσον τύχην·
οὐ γάρ ποτ' ηὔχει χεῖρας ἵξεσθαι σέθεν,
ὅτ' ἐκ Μυκηνῶν πολυπόνωι σὺν ἀσπίδι
ἔστειχε μείζω τῆς δίκης φρονῶν, πόλιν
πέρσων Ἀθάνας. ἀλλὰ τὴν ἐναντίαν
δαίμων ἔθηκε καὶ μετέστησεν τύχην.
Ὕλλος μὲν οὖν ὅ τ' ἐσθλὸς Ἰόλεως βρέτας
Διὸς τροπαίου καλλίνικον ἵστασαν·
ἐμοὶ δὲ πρὸς σὲ τόνδ' ἐπιστέλλους' ἄγειν,
τέρψαι θέλοντες σὴν φρέν'· ἐκ γὰρ εὐτυχοῦς
ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ' ὁρᾶν.
Αλ. ὦ μῖσος, ἥκεις; εἷλέ σ' ἡ Δίκη χρόνωι;
πρῶτον μὲν οὖν μοι δεῦρ' ἐπίστρεψον κάρα
καὶ τλῆθι τοὺς σοὺς προσβλέπειν ἐναντίον
ἐχθρούς· κρατῆι γὰρ νῦν γε κοὐ κρατεῖς ἔτι.
ἐκεῖνος εἶ σύ, βούλομαι γὰρ εἰδέναι,
ὃς πολλὰ μὲν τὸν ὄνθ' ὅπου 'στὶ νῦν ἐμὸν

παῖδ᾽ ἀξιώϲαϲ, ὦ πανοῦργ᾽, ἐφυβρίϲαι 947
ὕδραϲ λέοντάϲ τ᾽ ἐξαπολλύναι λέγων 950
ἔπεμπεϲ; ἄλλα δ᾽ οἷ᾽ ἐμηχανῶ κακὰ 951
ϲιγῶ· μακρὸϲ γὰρ μῦθοϲ ἂν γένοιτό μοι. 952
τί γὰρ ϲὺ κεῖνον οὐκ ἔτληϲ καθυβρίϲαι; 948
ὃϲ καὶ παρ᾽ Ἅιδην ζῶντά νιν κατήγαγεϲ. 949
κοὐκ ἤρκεϲέν ϲοι ταῦτα τολμῆϲαι μόνον, 953
ἀλλ᾽ ἐξ ἁπάϲηϲ κἀμὲ καὶ τέκν᾽ Ἑλλάδοϲ
ἤλαυνεϲ ἱκέταϲ δαιμόνων καθημένουϲ,
τοὺϲ μὲν γέρονταϲ, τοὺϲ δὲ νηπίουϲ ἔτι.
ἀλλ᾽ ηὗρεϲ ἄνδραϲ καὶ πόλιϲμ᾽ ἐλεύθερον,
οἵ ϲ᾽ οὐκ ἔδειϲαν. δεῖ ϲε κατθανεῖν κακῶϲ,
καὶ κερδανεῖϲ ἅπαντα· χρῆν γὰρ οὐχ ἅπαξ
θνήϲκειν ϲε πολλὰ πήματ᾽ ἐξειργαϲμένον.

Θε. οὐκ ἔϲτ᾽ ἀνυϲτὸν τόνδε ϲοι κατακτανεῖν.

Αλ. ἄλλωϲ ἄρ᾽ αὐτὸν αἰχμάλωτον εἵλομεν.
εἴργει δὲ δὴ τίϲ τόνδε μὴ θνήϲκειν νόμοϲ;

Θε. τοῖϲ τῆϲδε χώραϲ προϲτάταιϲιν οὐ δοκεῖ.

Αλ. τί δὴ τόδ᾽; ἐχθροὺϲ τοιϲίδ᾽ οὐ καλὸν κτανεῖν;

Θε. οὐχ ὅντιν᾽ ἄν γε ζῶνθ᾽ ἕλωϲιν ἐν μάχηι.

Αλ. καὶ ταῦτα δόξανθ᾽ Ὕλλοϲ ἐξηνέϲχετο;

Θε. χρῆν αὐτόν, οἶμαι, τῆιδ᾽ ἀπιϲτῆϲαι χθονί.

Αλ. χρῆν τόνδε μὴ ζῆν μηδ᾽ †ὁρᾶν φάοϲ ἔτι†.

Θε. τότ᾽ ἠδικήθη πρῶτον οὐ θανὼν ὅδε.

Αλ. οὔκουν ἔτ᾽ ἐϲτὶν ἐν καλῶι δοῦναι δίκην;

Θε. οὐκ ἔϲτι τοῦτον ὅϲτιϲ ἂν κατακτάνοι.

Αλ. ἔγωγε· καίτοι φημὶ κἄμ᾽ εἶναί τινα.

Θε. πολλὴν ἄρ' ἕξεις μέμψιν, εἰ δράσεις τόδε.
Αλ. φιλῶ πόλιν τήνδ'· οὐδὲν ἀντιλεκτέον.
τοῦτον δ', ἐπείπερ χεῖρας ἦλθεν εἰς ἐμάς,
οὐκ ἔστι θνητῶν ὅστις ἐξαιρήσεται.
πρὸς ταῦτα τὴν θρασεῖαν ὅστις ἂν θέληι
καὶ τὴν φρονοῦσαν μεῖζον ἢ γυναῖκα χρὴ
λέξει· τὸ δ' ἔργον τοῦτ' ἐμοὶ πεπράξεται.
Χο. δεινόν τι καὶ συγγνωστόν, ὦ γύναι, σ' ἔχει
νεῖκος πρὸς ἄνδρα τόνδε, γιγνώσκω καλῶς.

ΕΥΡΥΣΘΕΥΣ

γύναι, σάφ' ἴσθι μή με θωπεύσοντά σε
μηδ' ἄλλο μηδὲν τῆς ἐμῆς ψυχῆς πέρι
λέξονθ' ὅθεν χρὴ δειλίαν ὀφλεῖν τινα.
ἐγὼ δὲ νεῖκος οὐχ ἑκὼν τόδ' ἠράμην·
ἤιδη γε σοὶ μὲν αὐτανέψιος γεγώς,
τῶι σῶι δὲ παιδὶ συγγενὴς Ἡρακλέει.
ἀλλ' εἴτ' ἔχρῃζον εἴτε μή—θεὸς γὰρ ἦν—
Ἥρα με κάμνειν τήνδ' ἔθηκε τὴν νόσον.
ἐπεὶ δ' ἐκείνωι δυσμένειαν ἠράμην
κἄγνων ἀγῶνα τόνδ' ἀγωνιούμενος,
πολλῶν σοφιστὴς πημάτων ἐγιγνόμην
καὶ πόλλ' ἔτικτον νυκτὶ συνθακῶν ἀεί,
ὅπως διώσας καὶ κατακτείνας ἐμοὺς
ἐχθροὺς τὸ λοιπὸν μὴ συνοικοίην φόβωι,
εἰδὼς μὲν οὐκ ἀριθμὸν ἀλλ' ἐτητύμως
ἄνδρ' ὄντα τὸν σὸν παῖδα· καὶ γὰρ ἐχθρὸς ὢν
ἀκούσεταί †γ' ἐσθλὰ† χρηστὸς ὢν ἀνήρ.
κείνου δ' ἀπαλλαχθέντος οὐκ ἐχρῆν μ' ἄρα,
μισούμενον πρὸς τῶνδε καὶ ξυνειδότα
ἔχθραν πατρώιαν, πάντα κινῆσαι πέτρον

κτείνοντα κἀκβάλλοντα καὶ τεχνώμενον;
τοιαῦτα δρῶντι τἄμ᾽ ἐγίγνετ᾽ ἀcφαλῆ.
οὔκουν cύ γ᾽ ἀναλαβοῦcα τὰc ἐμὰc τύχαc
ἐχθροῦ λέοντοc δυcμενῆ βλαcτήματα
ἤλαυνεc ἂν κακοῖcιν ἀλλὰ cωφρόνωc
εἴαcαc οἰκεῖν Ἄργοc· οὔτιν᾽ ἂν πίθοιc.
νῦν οὖν ἐπειδή μ᾽ οὐ διώλεcαν τότε
πρόθυμον ὄντα, τοῖcιν Ἑλλήνων νόμοιc
οὐχ ἁγνόc εἰμι τῶι κτανόντι κατθανών·
πόλιc τ᾽ ἀφῆκε cωφρονοῦcα, τὸν θεὸν
μεῖζον τίουcα τῆc ἐμῆc ἔχθραc πολύ.
προcεῖπαc, ἀντήκουcαc· ἐντεῦθεν δὲ χρὴ
τὸν προcτρόπαιον †τόν τε γενναῖον† καλεῖν.
οὕτω γε μέντοι τἄμ᾽ ἔχει· θανεῖν μὲν οὐ
χρῄζω, λιπὼν δ᾽ ἂν οὐδὲν ἀχθοίμην βίον.

Χο. παραινέcαι cοι cμικρόν, Ἀλκμήνη, θέλω,
τὸν ἄνδρ᾽ ἀφεῖναι τόνδ᾽, ἐπεὶ δοκεῖ πόλει.

Αλ. τί δ᾽ ἢν θάνηι τε καὶ πόλει πιθώμεθα;

Χο. τὰ λῶιcτ᾽ ἂν εἴη· πῶc τάδ᾽ οὖν γενήcεται;

Αλ. ἐγὼ διδάξω ῥαιδίωc· κτανοῦcα γὰρ
τόνδ᾽ εἶτα νεκρὸν τοῖc μετελθοῦcιν φίλων
δώcω· τὸ γὰρ cῶμ᾽ οὐκ ἀπιcτήcω χθονί,
οὗτοc δὲ δώcει τὴν δίκην θανὼν ἐμοί.

Ευ. κτεῖν᾽, οὐ παραιτοῦμαί cε· τήνδε δὲ πτόλιν,
ἐπεί μ᾽ ἀφῆκε καὶ κατῃδέcθη κτανεῖν,
χρηcμῶι παλαιῶι Λοξίου δωρήcομαι,
ὃc ὠφελήcει μεῖζον᾽ ἢ δοκεῖ χρόνωι.
θανόντα γάρ με θάψεθ᾽ οὗ τὸ μόρcιμον,

δίαϲ πάροιθε παρθένου Παλληνίδοϲ·
καὶ ϲοὶ μὲν εὔνουϲ καὶ πόλει ϲωτήριοϲ
μέτοικοϲ αἰεὶ κείϲομαι κατὰ χθονόϲ,
τοῖϲ τῶνδε δ᾽ ἐκγόνοιϲι πολεμιώτατοϲ,
ὅταν μόλωϲι δεῦρο ϲὺν πολλῆι χερὶ
χάριν προδόντεϲ τήνδε· τοιούτων ξένων
προύϲτητε. πῶϲ οὖν ταῦτ᾽ ἐγὼ πεπυϲμένοϲ
δεῦρ᾽ ἦλθον ἀλλ᾽ οὐ χρηϲμὸν ἠζόμην θεοῦ;
Ἥραν νομίζων θεϲφάτων κρείϲϲω πολὺ
κοὐκ ἂν προδοῦναί μ᾽. ἀλλὰ μήτε μοι χοὰϲ
μήθ᾽ αἷμ᾽ ἐάϲητ᾽ εἰϲ ἐμὸν ϲτάξαι τάφον.
κακὸν γὰρ αὐτοῖϲ νόϲτον ἀντὶ τῶνδ᾽ ἐγὼ
δώϲω· διπλοῦν δὲ κέρδοϲ ἕξετ᾽ ἐξ ἐμοῦ·
ὑμᾶϲ τ᾽ ὀνήϲω τούϲδε τε βλάψω θανών.

Αλ. τί δῆτα μέλλετ᾽, εἰ πόλει ϲωτηρίαν
κατεργάϲαϲθαι τοῖϲί τ᾽ ἐξ ὑμῶν χρεών,
κτείνειν τὸν ἄνδρα τόνδ᾽, ἀκούοντεϲ τάδε;
δείκνυϲι γὰρ κέλευθον ἀϲφαλεϲτάτην·
ἐχθρὸϲ μὲν ἀνήρ, ὠφελεῖ δὲ κατθανών.
κομίζετ᾽ αὐτόν, δμῶεϲ, εἶτα χρὴ κυϲὶν
δοῦναι κτανόνταϲ· μὴ γὰρ ἐλπίϲηιϲ ὅπωϲ
αὖθιϲ πατρῴαϲ ζῶν ἔμ᾽ ἐκβαλεῖϲ χθονόϲ.
⟨ ⟩
⟨ ⟩
⟨ ⟩

Χο. ταῦτα δοκεῖ μοι. ϲτείχετ᾽, ὀπαδοί.
τὰ γὰρ ἐξ ἡμῶν
καθαρῶϲ ἔϲται βαϲιλεῦϲιν.

# FRAGMENTA HERACLIDIS FALSO ADSCRIPTA

i [fr. 852 N]

*ὅςτις δὲ τοὺς τεκόντας ἐν βίωι cέβει,*
*ὅδ' ἐςτὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.*
*ὅςτις δὲ †τοὺς φύσαντας† μὴ τιμᾶν θέληι,*
*μή μοι γένοιτο μήτε συνθύτης θεοῖς*
*μήτ' ἐν θαλάςσηι κοινόπλουν στέλλοι σκάφος.*

ii [fr. 853 N]

*τρεῖς εἰςὶν ἀρεταὶ τὰς χρεών c' ἀςκεῖν, τέκνον·*
*θεούς τε τιμᾶν τούς τε θρέψαντας γονῆς*
*νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν*
*κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.*

iii [fr. 854 N]

*τὸ μὲν σφαγῆναι δεινόν, εὔκλειαν δ' ἔχει·*
*τὸ μὴ θανεῖν δ' οὐ δεινόν, ἡδονὴ δ' ἔνι.*

iv [fr. 851 N]

τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα.

v [fr. 949 N]

καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.



SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/207
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/208
UNIVERSITÄT LEIPZIG

# ΙΠΠΟΛΥΤΟΣ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/209 UNIVERSITÄT LEIPZIG

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/210 UNIVERSITÄT LEIPZIG

# ΥΠΟΘΕϹΙϹ ΙΠΠΟΛΥΤΟΥ

*Θηϲεὺϲ υἱὸϲ μὲν ἦν Αἴθραϲ καὶ Ποϲειδῶνοϲ, βαϲιλεὺϲ δὲ Ἀθηναίων· γήμαϲ δὲ μίαν τῶν Ἀμαζονίδων Ἱππολύτην Ἱππόλυτον ἐγέννηϲε, κάλλει τε καὶ ϲωφροϲύνηι διαφέροντα. ἐπεὶ δὲ ἡ ϲυνοικοῦϲα τὸν βίον μετήλλαξεν, ἐπειϲηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνω τοῦ Κρητῶν βαϲιλέωϲ καὶ Παϲιφάηϲ θυγατέρα Φαίδραν. ὁ δὲ Θηϲεὺϲ Πάλλαντα ἕνα τῶν ϲυγγενῶν φονεύϲαϲ φεύγει εἰϲ Τροιζῆνα μετὰ τῆϲ γυναικόϲ, οὗ ϲυνέβαινε τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεϲθαι. θεαϲαμένη δὲ τὸν νεανίϲκον ἡ Φαίδρα εἰϲ ἐπιθυμίαν ὤλιϲθεν, οὐκ ἀκόλαϲτοϲ οὖϲα, πληροῦϲα δὲ Ἀφροδίτηϲ μῆνιν, ἣ τὸν Ἱππόλυτον διὰ ϲωφροϲύνην ἀνελεῖν κρίναϲα τὴν Φαίδραν εἰϲ ἔρωτα παρώρμηϲεν, τέλοϲ δὲ τοῖϲ προτεθεῖϲιν ἔθηκεν. ϲτέργουϲα δὲ τὴν νόϲον χρόνωι πρὸϲ τὴν τροφὸν δηλῶϲαι ἠναγκάϲθη, ἥτιϲ κατεπαγγειλαμένη αὐτῆι βοηθήϲειν παρὰ τὴν προαίρεϲιν λόγουϲ προϲήνεγκε τῶι νεανίϲκωι. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦϲα τῆι μὲν τροφῶι*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/212 UNIVERSITÄT LEIPZIG

ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτηϲεν. καθ' ὃν καιρὸν φανεὶϲ Θηϲεὺϲ καὶ καθελεῖν ϲπεύδων τὴν ἀπηγχονιϲμένην, εὗρεν αὐτῆι προϲηρτημένην δέλτον δι' ἧϲ Ἱππολύτου φθορὰν κατηγόρει καὶ ἐπιβουλήν. πιϲτεύϲαϲ δὲ τοῖϲ γεγραμμένοιϲ τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν, αὐτὸϲ δὲ τῶι Ποϲειδῶνι ἀρὰϲ ἔθετο, ὧν ἐπακούϲαϲ ὁ θεὸϲ τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμιϲ δὲ τῶν γεγενημένων ἕκαϲτα διαϲαφήϲαϲα Θηϲεῖ, τὴν μὲν Φαίδραν οὐ κατεμέμψατο, τοῦτον δὲ παρεμυθήϲατο υἱοῦ καὶ γυναικὸϲ ϲτερηθέντα· τῶι δὲ Ἱππολύτωι τιμὰϲ ἔφη γῆι ἐγκαταϲτήϲεϲθαι.

## ⟨ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕϹΙϹ⟩

ἡ ϲκηνὴ τοῦ δράματοϲ ὑπόκειται ἐν †θήβαιϲ†. ἐδιδάχθη ἐπὶ Ἐπαμείνονοϲ ἄρχοντοϲ ὀλυμπιάδι π̅ζ̅ ἔτει δ̅. πρῶτοϲ Εὐριπίδηϲ, δεύτεροϲ Ἰοφῶν, τρίτοϲ Ἴων. ἔϲτι δὲ οὗτοϲ Ἱππόλυτοϲ δεύτεροϲ, ⟨ὁ⟩ καὶ ϲτεφανίαϲ προϲαγορευόμενοϲ. ἐμφαίνεται δὲ ὕϲτεροϲ γεγραμμένοϲ· τὸ γὰρ ἀπρεπὲϲ καὶ κατηγορίαϲ ἄξιον ἐν τούτωι διώρθωται τῶι δράματι. τὸ δὲ δρᾶμα τῶν πρώτων.

## ΕΥΡΙΠΙΔΟΥ

τὰ τοῦ δράματος πρόσωπα· Ἀφροδίτη, Ἱππόλυτος, οἰκέτης, τροφός, Φαίδρα, θεράπαινα, Θησεύς, ἄγγελος, Ἄρτεμις, χορός.

# ΙΠΠΟΛΥΤΟΣ

ΑΦΡΟΔΙΤΗ

Πολλὴ μὲν ἐν βροτοῖϲι κοὐκ ἀνώνυμοϲ
θεὰ κέκλημαι Κύπριϲ οὐρανοῦ τ' ἔϲω·
ὅϲοι τε Πόντου τερμόνων τ' Ἀτλαντικῶν
ναίουϲιν εἴϲω, φῶϲ ὁρῶντεϲ ἡλίου,
τοὺϲ μὲν ϲέβοντας τἀμὰ πρεϲβεύω κράτη,
ϲφάλλω δ' ὅϲοι φρονοῦϲιν εἰϲ ἡμᾶϲ μέγα.
ἔνεϲτι γὰρ δὴ κἀν θεῶν γένει τόδε·
τιμώμενοι χαίρουϲιν ἀνθρώπων ὕπο.
δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα.
ὁ γάρ με Θηϲέωϲ παῖϲ, Ἀμαζόνοϲ τόκοϲ,
Ἱππόλυτοϲ, ἁγνοῦ Πιτθέωϲ παιδεύματα,
μόνοϲ πολιτῶν τῆϲδε γῆϲ Τροζηνίαϲ
λέγει κακίϲτην δαιμόνων πεφυκέναι·
ἀναίνεται δὲ λέκτρα κοὐ ψαύει γάμων,
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸϲ κόρην,
τιμᾶι, μεγίϲτην δαιμόνων ἡγούμενοϲ,
χλωρὰν δ' ἀν' ὕλην παρθένωι ξυνὼν ἀεὶ
κυϲὶν ταχείαιϲ θῆραϲ ἐξαιρεῖ χθονόϲ,
μείζω βροτείαϲ προϲπεϲὼν ὁμιλίαϲ.
τούτοιϲι μέν νυν οὐ φθονῶ· τί γάρ με δεῖ;
ἃ δ' εἰϲ ἔμ' ἡμάρτηκε τιμωρήϲομαι



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/215 UNIVERSITÄT LEIPZIG

Ἱππόλυτον ἐν τῆιδ' ἡμέραι· τὰ πολλὰ δὲ
πάλαι προκόψας', οὐ πόνου πολλοῦ με δεῖ.
ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων
cεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων
Πανδίονος γῆν πατρὸς εὐγενὴς δάμαρ
ἰδοῦcα Φαίδρα καρδίαν κατέσχετο
ἔρωτι δεινῶι τοῖς ἐμοῖς βουλεύμασιν.
καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροζηνίαν,
πέτραν παρ' αὐτὴν Παλλάδος, κατόψιον
γῆς τῆσδε, ναὸν Κύπριδος ἐγκαθείσατο,
ἐρῶς' ἔρωτ' ἔκδημον, Ἱππολύτωι δ' ἔπι
τὸ λοιπὸν ὀνομάσουσιν ἱδρῦσθαι θεάν.
ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα
μίασμα φεύγων αἵματος Παλλαντιδῶν
καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα
ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγήν,
ἐνταῦθα δὴ στένουσα κἀκπεπληγμένη
κέντροις ἔρωτος ἡ τάλαιν' ἀπόλλυται
σιγῆι, ξύνοιδε δ' οὔτις οἰκετῶν νόσον.
ἀλλ' οὔτι ταύτηι τόνδ' ἔρωτα χρὴ πεσεῖν,
δείξω δὲ Θησεῖ πρᾶγμα κἀκφανήσεται.
καὶ τὸν μὲν ἡμῖν πολέμιον νεανίαν

κτενεῖ πατὴρ ἀραῖϲιν ἃϲ ὁ πόντιοϲ
ἄναξ Ποϲειδῶν ὤπαϲεν Θηϲεῖ γέραϲ,
μηδὲν μάταιον ἐϲ τρὶϲ εὔξαϲθαι θεῶι·
ἡ δ᾽ εὐκλεὴϲ μὲν ἀλλ᾽ ὅμωϲ ἀπόλλυται
Φαίδρα· τὸ γὰρ τῆϲδ᾽ οὐ προτιμήϲω κακὸν
τὸ μὴ οὐ παραϲχεῖν τοὺϲ ἐμοὺϲ ἐχθροὺϲ ἐμοὶ
δίκην τοϲαύτην ὥϲτε μοι καλῶϲ ἔχειν.
ἀλλ᾽ εἰϲορῶ γὰρ τόνδε παῖδα Θηϲέωϲ
ϲτείχοντα, θήραϲ μόχθον ἐκλελοιπότα,
Ἱππόλυτον, ἔξω τῶνδε βήϲομαι τόπων.
πολὺϲ δ᾽ ἅμ᾽ αὐτῶι προϲπόλων ὀπιϲθόπουϲ
κῶμοϲ λέλακεν, Ἄρτεμιν τιμῶν θεὰν
ὕμνοιϲιν· οὐ γὰρ οἶδ᾽ ἀνεωιγμέναϲ πύλαϲ
Ἅιδου, φάοϲ δὲ λοίϲθιον βλέπων τόδε.

ΙΠΠΟΛΥΤΟϹ

ἕπεϲθ᾽ ἄιδοντεϲ ἕπεϲθε
τὰν Διὸϲ οὐρανίαν
Ἄρτεμιν, ἇι μελόμεϲθα.

ΙΠ. ΚΑΙ ΘΕΡΑΠΟΝΤΕϹ

πότνια πότνια ϲεμνοτάτα,
Ζηνὸϲ γένεθλον,
χαῖρε χαῖρέ μοι, ὦ κόρα
Λατοῦϲ Ἄρτεμι καὶ Διόϲ,
καλλίϲτα πολὺ παρθένων,

ἃ μέγαν κατ᾽ οὐρανὸν
ναίειϲ εὐπατέρειαν αὐ-
  λάν, Ζηνὸϲ πολύχρυϲον οἶκον.
χαῖρέ μοι, ὦ καλλίϲτα
καλλίϲτα τῶν κατ᾽ Ὄλυμπον.

*Ιπ.* ϲοὶ τόνδε πλεκτὸν ϲτέφανον ἐξ ἀκηράτου
λειμῶνοϲ, ὦ δέϲποινα, κοϲμήϲαϲ φέρω,
ἔνθ᾽ οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ
οὔτ᾽ ἦλθέ πω ϲίδηροϲ, ἀλλ᾽ ἀκήρατον
μέλιϲϲα λειμῶν᾽ ἠρινὴ διέρχεται,
Αἰδὼϲ δὲ ποταμίαιϲι κηπεύει δρόϲοιϲ,
ὅϲοιϲ διδακτὸν μηδὲν ἀλλ᾽ ἐν τῆι φύϲει
τὸ ϲωφρονεῖν εἴληχεν ἐϲ τὰ πάντ᾽ ἀεί,
τούτοιϲ δρέπεϲθαι, τοῖϲ κακοῖϲι δ᾽ οὐ θέμιϲ.
ἀλλ᾽, ὦ φίλη δέϲποινα, χρυϲέαϲ κόμηϲ
ἀνάδημα δέξαι χειρὸϲ εὐϲεβοῦϲ ἄπο.
μόνωι γάρ ἐϲτι τοῦτ᾽ ἐμοὶ γέραϲ βροτῶν·
ϲοὶ καὶ ξύνειμι καὶ λόγοιϲ ἀμείβομαι,
κλύων μὲν αὐδῆϲ, ὄμμα δ᾽ οὐχ ὁρῶν τὸ ϲόν.
τέλοϲ δὲ κάμψαιμ᾽ ὥϲπερ ἠρξάμην βίου.

*ΘΕΡΑΠΩΝ*

ἄναξ, θεοὺς γὰρ δεσπότας καλεῖν χρεών,
ἆρ' ἄν τί μου δέξαιο βουλεύσαντος εὖ;

Ἱπ. καὶ κάρτα γ'· ἦ γὰρ οὐ σοφοὶ φαινοίμεθ' ἄν.
Θε. οἶσθ' οὖν βροτοῖσιν ὃς καθέστηκεν νόμος;
Ἱπ. οὐκ οἶδα· τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι;
Θε. μισεῖν τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον.
Ἱπ. ὀρθῶς γε· τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν;
Θε. ἐν δ' εὐπροσηγόροισίν ἐστί τις χάρις;
Ἱπ. πλείστη γε, καὶ κέρδος γε σὺν μόχθωι βραχεῖ.
Θε. ἦ κἀν θεοῖσι ταὐτὸν ἐλπίζεις τόδε;
Ἱπ. εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.
Θε. πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;
Ἱπ. τίν'; εὐλαβοῦ δὲ μή τί σου σφαλῆι στόμα.
Θε. τήνδ' ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις.
Ἱπ. πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι.
Θε. σεμνή γε μέντοι κἀπίσημος ἐν βροτοῖς.
Ἱπ. οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.
Θε. τιμαῖσιν, ὦ παῖ, δαιμόνων χρῆσθαι χρεών.
Ἱπ. ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει.
Θε. εὐδαιμονοίης, νοῦν ἔχων ὅσον σε δεῖ.
Ἱπ. χωρεῖτ', ὀπαδοί, καὶ παρελθόντες δόμους
σίτων μέλεσθε· τερπνὸν ἐκ κυναγίας
τράπεζα πλήρης· καὶ καταψήχειν χρεὼν
ἵππους, ὅπως ἂν ἅρμασι ζεύξας ὕπο
βορᾶς κορεσθεὶς γυμνάσω τὰ πρόσφορα.
τὴν σὴν δὲ Κύπριν πόλλ' ἐγὼ χαίρειν λέγω.

Θε. ἡμεῖϲ δέ, τοὺϲ νέουϲ γὰρ οὐ μιμητέον
φρονοῦνταϲ οὕτωϲ, ὡϲ πρέπει δούλοιϲ λέγειν
προϲευξόμεϲθα τοῖϲι ϲοῖϲ ἀγάλμαϲιν,
δέϲποινα Κύπρι· χρὴ δὲ ϲυγγνώμην ἔχειν.
εἴ τίϲ ϲ᾽ ὑφ᾽ ἥβηϲ ϲπλάγχνον ἔντονον φέρων
μάταια βάζει, μὴ δόκει τούτου κλύειν·
ϲοφωτέρουϲ γὰρ χρὴ βροτῶν εἶναι θεούϲ.

ΧΟΡΟϹ

Ὠκεανοῦ τιϲ ὕδωρ ϲτάζουϲα πέτρα λέγεται, [ϲτρ. α
βαπτὰν κάλπιϲι πα-
γὰν ῥυτὰν προιεῖϲα κρημνῶν.
τόθι μοί τιϲ ἦν φίλα
πορφύρεα φάρεα
ποταμίαι δρόϲωι
τέγγουϲα, θερμᾶϲ δ᾽ ἐπὶ νῶτα πέτραϲ
εὐαλίου κατέβαλλ᾽· ὅθεν μοι
πρώτα φάτιϲ ἦλθε δεϲποίναϲ,

τειρομέναν νοϲερᾶι κοίται δέμαϲ ἐντὸϲ ἔχειν [ἀντ. α
οἴκων, λεπτὰ δὲ φά-
ρη ξανθὰν κεφαλὰν ϲκιάζειν·



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/220 UNIVERSITÄT LEIPZIG

τριτάταν δέ νιν κλύω
τάνδ' ἀβρωσίαι
στόματος ἁμέραν
Δάματρος ἀκτᾶς δέμας ἁγνὸν ἴσχειν,
κρυπτῶι πάθει θανάτου θέλουσαν
κέλσαι ποτὶ τέρμα δύστανον.

†σὺ γὰρ† ἔνθεος, ὦ κούρα, [στρ. β
εἴτ' ἐκ Πανὸς εἴθ' Ἑκάτας
ἢ σεμνῶν Κορυβάντων
φοιτᾶις ἢ ματρὸς ὀρείας;
†σὺ δ'† ἀμφὶ τὰν πολύθη-
ρον Δίκτυνναν ἀμπλακίαις
ἀνίερος ἀθύτων πελανῶν τρύχηι;
φοιτᾶι γὰρ καὶ διὰ Λί-
μνας χέρσον θ' ὕπερ πελάγους
δίναις ἐν νοτίαις ἅλμας.

ἢ πόσιν, τὸν Ἐρεχθειδᾶν [ἀντ. β
ἀρχαγόν, τὸν εὐπατρίδαν,
ποιμαίνει τις ἐν οἴκοις
κρυπτᾶι κοίται λεχέων σῶν;
ἢ ναυβάτας τις ἔπλευ-
σεν Κρήτας ἔξορμος ἀνὴρ

λιμένα τὸν εὐξεινότατον ναύταις
φήμαν πέμπων βασιλεί-
    αι, λύπαι δ' ὑπὲρ παθέων
εὐναία δέδεται ψυχά;

φιλεῖ δὲ τᾶι δυςτρόπωι γυναικῶν [ἐπωιδ.
ἁρμονίαι κακὰ
δύςτανος ἀμηχανία ςυνοικεῖν
ὠδίνων τε καὶ ἀφροςύνας.
δι' ἐμᾶς ἦιξέν ποτε νηδύος ἅδ'
αὔρα· τὰν δ' εὔλοχον οὐρανίαν
τόξων μεδέουςαν ἀύτευν
Ἄρτεμιν, καί μοι πολυζήλωτος αἰεὶ
ςὺν θεοῖςι φοιτᾶι.

ἀλλ' ἥδε τροφὸς γεραιὰ πρὸ θυρῶν
τήνδε κομίζους' ἔξω μελάθρων.
ςτυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται·
τί ποτ' ἐςτὶ μαθεῖν ἔραται ψυχή,
τί δεδήληται
δέμας ἀλλόχροον βαςιλείας.

ΤΡΟΦΟΣ

ὦ κακὰ θνητῶν ςτυγεραί τε νόςοι·
τί ς' ἐγὼ δράςω, τί δὲ μὴ δράςω;
τόδε ςοι φέγγος, λαμπρὸς ὅδ' αἰθήρ,

ἔξω δὲ δόμων ἤδη νοϲερᾶϲ
δέμνια κοίτηϲ.
δεῦρο γὰρ ἐλθεῖν πᾶν ἔποϲ ἦν ϲοι,
τάχα δ' ἐϲ θαλάμουϲ ϲπεύϲειϲ τὸ πάλιν.
ταχὺ γὰρ ϲφάλλῃ κοὐδενὶ χαίρειϲ,
οὐδέ ϲ' ἀρέϲκει τὸ παρόν, τὸ δ' ἀπὸν
φίλτερον ἡγῇ.
κρεῖϲϲον δὲ νοϲεῖν ἢ θεραπεύειν·
τὸ μέν ἐϲτιν ἁπλοῦν, τῶι δὲ ϲυνάπτει
λύπη τε φρενῶν χερϲίν τε πόνοϲ.
πᾶϲ δ' ὀδυνηρὸϲ βίοϲ ἀνθρώπων
κοὐκ ἔϲτι πόνων ἀνάπαυϲιϲ.
ἀλλ' ὅτι τοῦ ζῆν φίλτερον ἄλλο
ϲκότοϲ ἀμπίϲχων κρύπτει νεφέλαιϲ.
δυϲέρωτεϲ δὴ φαινόμεθ' ὄντεϲ
τοῦδ' ὅτι τοῦτο ϲτίλβει κατὰ γῆν
δι' ἀπειροϲύνην ἄλλου βιότου
κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίαϲ,
μύθοιϲ δ' ἄλλωϲ φερόμεϲθα.

*ΦΑΙΔΡΑ*

αἴρετέ μου δέμαϲ, ὀρθοῦτε κάρα·
λέλυμαι μελέων ϲύνδεϲμα φίλων.
λάβετ' εὐπήχειϲ χεῖραϲ, πρόπολοι.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/223 UNIVERSITÄT LEIPZIG

βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν·
ἄφελ', ἀμπέτασον βόστρυχον ὤμοις.
Τρ. θάρσει, τέκνον, καὶ μὴ χαλεπῶς
μετάβαλλε δέμας·
ῥᾶιον δὲ νόσον μετά θ' ἡσυχίας
καὶ γενναίου λήματος οἴσεις.
μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.
Φα. αἰαῖ·
πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος
καθαρῶν ὑδάτων πῶμ' ἀρυσαίμαν,
ὑπό τ' αἰγείροις ἔν τε κομήτηι
λειμῶνι κλιθεῖσ' ἀναπαυσαίμαν;
Τρ. ὦ παῖ, τί θροεῖς;
οὐ μὴ παρ' ὄχλωι τάδε γηρύσηι,
μανίας ἔποχον ῥίπτουσα λόγον;
Φα. πέμπετέ μ' εἰς ὄρος· εἶμι πρὸς ὕλαν
καὶ παρὰ πεύκας, ἵνα θηροφόνοι
στείβουσι κύνες
βαλιαῖς ἐλάφοις ἐγχριμπτόμεναι.
πρὸς θεῶν· ἔραμαι κυσὶ θωΰξαι
καὶ παρὰ χαίταν ξανθὰν ῥῖψαι
Θεσσαλὸν ὅρπακ', ἐπίλογχον ἔχουσ'
ἐν χειρὶ βέλος.
Τρ. τί ποτ', ὦ τέκνον, τάδε κηραίνεις;
τί κυνηγεσίων καὶ σοὶ μελέτη;

τί δὲ κρηναίων νασμῶν ἔραϲαι;
πάρα γὰρ δροϲερὰ πύργοιϲ ϲυνεχὴϲ
κλειτύϲ, ὅθεν ϲοι πῶμα γένοιτ᾽ ἄν.

Φα. δέϲποιν᾽ ἁλίαϲ Ἄρτεμι Λίμναϲ
καὶ γυμναϲίων τῶν ἱπποκρότων,
εἴθε γενοίμαν ἐν ϲοῖϲ δαπέδοιϲ
πώλουϲ Ἐνετὰϲ δαμαλιζομένα.

Τρ. τί τόδ᾽ αὖ παράφρων ἔρριψαϲ ἔποϲ;
νῦν δὴ μὲν ὄροϲ βᾶϲ᾽ ἐπὶ θήραϲ
πόθον ἐϲτέλλου, νῦν δ᾽ αὖ ψαμάθοιϲ
ἐπ᾽ ἀκυμάντοιϲ πώλων ἔραϲαι.
τάδε μαντείαϲ ἄξια πολλῆϲ,
ὅϲτιϲ ϲε θεῶν ἀναϲειράζει
καὶ παρακόπτει φρέναϲ, ὦ παῖ.

Φα. δύϲτηνοϲ ἐγώ, τί ποτ᾽ εἰργαϲάμην;
ποῖ παρεπλάγχθην γνώμηϲ ἀγαθῆϲ;
ἐμάνην, ἔπεϲον δαίμονοϲ ἄτηι.
φεῦ φεῦ τλήμων.
μαῖα, πάλιν μου κρύψον κεφαλήν,

αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
κρύπτε· κατ᾽ ὄccων δάκρυ μοι βαίνει
καὶ ἐπ᾽ αἰcχύνην ὄμμα τέτραπται.
τὸ γὰρ ὀρθοῦcθαι γνώμην ὀδυνᾶι,
τὸ δὲ μαινόμενον κακόν· ἀλλὰ κρατεῖ
μὴ γιγνώcκοντ᾽ ἀπολέcθαι.

Τρ. κρύπτω· τὸ δ᾽ ἐμὸν πότε δὴ θάνατος
cῶμα καλύψει;
πολλὰ διδάcκει μ᾽ ὁ πολὺc βίοτοc·
χρῆν γὰρ μετρίαc εἰc ἀλλήλουc
φιλίαc θνητοὺc ἀνακίρναcθαι
καὶ μὴ πρὸc ἄκρον μυελὸν ψυχῆc,
εὔλυτα δ᾽ εἶναι cτέργηθρα φρενῶν
ἀπό τ᾽ ὤcαcθαι καὶ ξυντεῖναι·
τὸ δ᾽ ὑπὲρ διccῶν μίαν ὠδίνειν
ψυχὴν χαλεπὸν βάροc, ὡc κἀγὼ
τῆcδ᾽ ὑπεραλγῶ.
βιότου δ᾽ ἀτρεκεῖc ἐπιτηδεύcειc
φαcὶ cφάλλειν πλέον ἢ τέρπειν
τῆι θ᾽ ὑγιείαι μᾶλλον πολεμεῖν.
οὕτω τὸ λίαν ἧccον ἐπαινῶ
τοῦ μηδὲν ἄγαν·
καὶ ξυμφήcουcι cοφοί μοι.

Χο. γύναι γεραιά, βαϲιλίδοϲ πιϲτὴ τροφέ,
Φαίδραϲ ὁρῶμεν τάϲδε δυϲτήνουϲ τύχαϲ,
ἄϲημα δ' ἡμῖν ἥτιϲ ἐϲτὶν ἡ νόϲοϲ·
ϲοῦ δ' ἂν πυθέϲθαι καὶ κλύειν βουλοίμεθ' ἄν.
Τρ. οὐκ οἶδ', ἐλέγχουϲ'· οὐ γὰρ ἐννέπειν θέλει.
Χο. οὐδ' ἥτιϲ ἀρχὴ τῶνδε πημάτων ἔφυ;
Τρ. ἐϲ ταὐτὸν ἥκειϲ· πάντα γὰρ ϲιγᾶι τάδε.
Χο. ὡϲ ἀϲθενεῖ τε καὶ κατέξανται δέμαϲ.
Τρ. πῶϲ δ' οὔ, τριταίαν γ' οὖϲ' ἄϲιτοϲ ἡμέραν;
Χο. πότερον ὑπ' ἄτηϲ ἢ θανεῖν πειρωμένη;
Τρ. θανεῖν; ἀϲιτεῖ γ' εἰϲ ἀπόϲταϲιν βίου.
Χο. θαυμαϲτὸν εἶπαϲ, εἰ τάδ' ἐξαρκεῖ πόϲει.
Τρ. κρύπτει γὰρ ἥδε πῆμα κοὔ φηϲιν νοϲεῖν.
Χο. ὁ δ' ἐϲ πρόϲωπον οὐ τεκμαίρεται βλέπων;
Τρ. ἔκδημοϲ ὢν γὰρ τῆϲδε τυγχάνει χθονόϲ.
Χο. ϲὺ δ' οὐκ ἀνάγκην προϲφέρειϲ, πειρωμένη
νόϲον πυθέϲθαι τῆϲδε καὶ πλάνον φρενῶν;
Τρ. ἐϲ πάντ' ἀφῖγμαι κοὐδὲν εἴργαϲμαι πλέον.
οὐ μὴν ἀνήϲω γ' οὐδὲ νῦν προθυμίαϲ,
ὡϲ ἂν παροῦϲα καὶ ϲύ μοι ξυμμαρτυρῆιϲ
οἵα πέφυκα δυϲτυχοῦϲι δεϲπόταιϲ.

ἄγ', ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων
λαθώμεθ' ἄμφω, καὶ σύ θ' ἡδίων γενοῦ
στυγνὴν ὀφρῦν λύσασα καὶ γνώμης ὁδόν,
ἐγώ θ' ὅπηι σοι μὴ καλῶς τόθ' εἱπόμην
μεθεῖσ' ἐπ' ἄλλον εἶμι βελτίω λόγον.
κεἰ μὲν νοσεῖς τι τῶν ἀπορρήτων κακῶν,
γυναῖκες αἵδε συγκαθιστάναι νόσον·
εἰ δ' ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
λέγ', ὡς ἰατροῖς πρᾶγμα μηνυθῆι τόδε.
εἶέν, τί σιγᾶις; οὐκ ἐχρῆν σιγᾶν, τέκνον,
ἀλλ' ἤ μ' ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
φθέγξαι τι, δεῦρ' ἄθρησον. ὦ τάλαιν' ἐγώ,
γυναῖκες, ἄλλως τούσδε μοχθοῦμεν πόνους,
ἴσον δ' ἄπεσμεν τῶι πρίν· οὔτε γὰρ τότε
λόγοις ἐτέγγεθ' ἥδε νῦν τ' οὐ πείθεται.
ἀλλ' ἴσθι μέντοι—πρὸς τάδ' αὐθαδεστέρα
γίγνου θαλάσσης—εἰ θανῆι, προδοῦσα σοὺς
παῖδας, πατρώιων μὴ μεθέξοντας δόμων,
μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,
ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο,
νόθον φρονοῦντα γνήσι', οἶσθά νιν καλῶς,
Ἱππόλυτον... Φα. οἴμοι. Τρ. θιγγάνει σέθεν τόδε;

Φα. ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
τοῦδ' ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.

Τρ. ὁρᾶιϲ; φρονεῖϲ μὲν εὖ, φρονοῦϲα δ' οὐ θέλειϲ
παῖδάϲ τ' ὀνῆϲαι καὶ ϲὸν ἐκϲῶϲαι βίον.
Φα. φιλῶ τέκν'· ἄλληι δ' ἐν τύχηι χειμάζομαι.
Τρ. ἁγνὰϲ μέν, ὦ παῖ, χεῖραϲ αἵματοϲ φορεῖϲ;
Φα. χεῖρεϲ μὲν ἁγναί, φρὴν δ' ἔχει μίαϲμά τι.
Τρ. μῶν ἐξ ἐπακτοῦ πημονῆϲ ἐχθρῶν τινοϲ;
Φα. φίλοϲ μ' ἀπόλλυϲ' οὐχ ἑκοῦϲαν οὐχ ἑκών.
Τρ. Θηϲεύϲ τιν' ἡμάρτηκεν ἐϲ ϲ' ἁμαρτίαν;
Φα. μὴ δρῶϲ' ἔγωγ' ἐκεῖνον ὀφθείην κακῶϲ.
Τρ. τί γὰρ τὸ δεινὸν τοῦθ' ὅ ϲ' ἐξαίρει θανεῖν;
Φα. ἔα μ' ἁμαρτεῖν· οὐ γὰρ ἐϲ ϲ' ἁμαρτάνω.
Τρ. οὐ δῆθ' ἑκοῦϲά γ', ἐν δὲ ϲοὶ λελείψομαι.
Φα. τί δρᾶιϲ; βιάζηι, χειρὸϲ ἐξαρτωμένη;
Τρ. καὶ ϲῶν γε γονάτων, κοὐ μεθήϲομαί ποτε.
Φα. κάκ' ὦ τάλαινά ϲοι τάδ', εἰ πεύϲηι, κακά.
Τρ. μεῖζον γὰρ ἤ ϲου μὴ τυχεῖν τί μοι κακόν;
Φα. ὀλῆι. τὸ μέντοι πρᾶγμ' ἐμοὶ τιμὴν φέρει.
Τρ. κἄπειτα κρύπτειϲ, χρήϲθ' ἱκνουμένηϲ ἐμοῦ;
Φα. ἐκ τῶν γὰρ αἰϲχρῶν ἐϲθλὰ μηχανώμεθα.
Τρ. οὔκουν λέγουϲα τιμιωτέρα φανῆι;
Φα. ἄπελθε πρὸϲ θεῶν δεξιάν τ' ἐμὴν μέθεϲ.

Τρ. οὐ δῆτ', ἐπεί μοι δῶρον οὐ δίδωϲ ὃ χρῆν.
Φα. δώϲω· ϲέβαϲ γὰρ χειρὸϲ αἰδοῦμαι τὸ ϲόν.
Τρ. ϲιγῷμ' ἂν ἤδη· ϲὸϲ γὰρ οὑντεῦθεν λόγοϲ.
Φα. ὦ τλῆμον, οἷον, μῆτερ, ἠράϲθηϲ ἔρον.
Τρ. ὃν ἔϲχε ταύρου, τέκνον; ἢ τί φὴιϲ τόδε;
Φα. ϲύ τ', ὦ τάλαιν' ὅμαιμε, Διονύϲου δάμαρ.
Τρ. τέκνον, τί πάϲχειϲ; ϲυγγόνουϲ κακορροθεῖϲ;
Φα. τρίτη δ' ἐγὼ δύϲτηνοϲ ὡϲ ἀπόλλυμαι.
Τρ. ἔκ τοι πέπληγμαι· ποῖ προβήϲεται λόγοϲ;
Φα. ἐκεῖθεν ἡμεῖϲ, οὐ νεωϲτί, δυϲτυχεῖϲ.
Τρ. οὐδέν τι μᾶλλον οἶδ' ἃ βούλομαι κλύειν.
Φα. φεῦ·
πῶϲ ἂν ϲύ μοι λέξειαϲ ἁμὲ χρὴ λέγειν;
Τρ. οὐ μάντιϲ εἰμὶ τἀφανῆ γνῶναι ϲαφῶϲ.
Φα. τί τοῦθ' ὃ δὴ λέγουϲιν ἀνθρώπουϲ ἐρᾶν;
Τρ. ἥδιϲτον, ὦ παῖ, ταὐτὸν ἀλγεινόν θ' ἅμα.
Φα. ἡμεῖϲ ἂν εἶμεν θατέρωι κεχρημένοι.
Τρ. τί φήιϲ; ἐρᾶιϲ, ὦ τέκνον; ἀνθρώπων τίνοϲ;
Φα. ὅϲτιϲ ποθ' οὗτόϲ ἐϲθ', ὁ τῆϲ Ἀμαζόνοϲ . . .
Τρ. Ἱππόλυτον αὐδᾶιϲ; Φα. ϲοῦ τάδ', οὐκ ἐμοῦ, κλύειϲ.
Τρ. οἴμοι, τί λέξειϲ, τέκνον; ὥϲ μ' ἀπώλεϲαϲ.
γυναῖκεϲ, οὐκ ἀναϲχέτ', οὐκ ἀνέξομαι
ζῶϲ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰϲορῶ φάοϲ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/230 UNIVERSITÄT LEIPZIG

ῥίψω μεθήcω cῶμ᾽, ἀπαλλαχθήcομαι
βίου θανοῦcα· χαίρετ᾽, οὐκέτ᾽ εἴμ᾽ ἐγώ.
οἱ cώφρονες γάρ, οὐχ ἑκόντες ἀλλ᾽ ὅμως,
κακῶν ἐρῶcι. Κύπρις οὐκ ἄρ᾽ ἦν θεός,
ἀλλ᾽ εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
ἣ τήνδε κἀμὲ καὶ δόμους ἀπώλεcεν.

Χο. ἄιες ὤ, ἔκλυες ὤ, [cτρ.
ἀνήκουcτα τᾶc
τυράννου πάθεα μέλεα θρεομένας;
ὀλοίμαν ἔγωγε πρὶν cᾶν, φίλα,
κατανύcαι φρενῶν. ἰώ μοι, φεῦ φεῦ·
ὦ τάλαινα τῶνδ᾽ ἀλγέων·
ὦ πόνοι τρέφοντες βροτούς.
ὄλωλας, ἐξέφηνας ἐc φάος κακά.
τίς cε παναμέριος ὅδε χρόνος μένει;
τελευτάcεταί τι καινὸν δόμοιc·
ἄcημα δ᾽ οὐκέτ᾽ ἐcτὶν οἷ φθίνει τύχα
Κύπριδος, ὦ τάλαινα παῖ Κρηcία.



SLUB Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/231
UNIVERSITÄT LEIPZIG

Φα. Τροζήνιαι γυναῖκες, αἳ τόδ' ἔσχατον
οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῶι χρόνωι
θνητῶν ἐφρόντισ' ἧι διέφθαρται βίος.
καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν
πράσσειν κακίον'· ἔστι γὰρ τό γ' εὖ φρονεῖν
πολλοῖσιν· ἀλλὰ τῆιδ' ἀθρητέον τόδε·
τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν,
οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν ἀργίας ὕπο,
οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν'· εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
μακραί τε λέσχαι καὶ σχολή, τερπνὸν κακόν,
αἰδώς τε· δισσαὶ δ' εἰσίν, ἡ μὲν οὐ κακή,
ἡ δ' ἄχθος οἴκων· εἰ δ' ὁ καιρὸς ἦν σαφής,
οὐκ ἂν δύ' ἤστην ταὔτ' ἔχοντε γράμματα.
ταῦτ' οὖν ἐπειδὴ τυγχάνω φρονοῦσ' ἐγώ,
οὐκ ἔσθ' ὁποίωι φαρμάκωι διαφθερεῖν
ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν.
λέξω δὲ καί σοι τῆς ἐμῆς γνώμης ὁδόν.
ἐπεί μ' ἔρως ἔτρωσεν, ἐσκόπουν ὅπως
κάλλιστ' ἐνέγκαιμ' αὐτόν. ἠρξάμην μὲν οὖν

ἐκ τοῦδε, cιγᾶν τήνδε καὶ κρύπτειν νόcον·
γλώccηι γὰρ οὐδὲν πιcτόν, ἣ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίcταται,
αὐτὴ δ' ὑφ' αὑτῆc πλεῖcτα κέκτηται κακά.
τὸ δεύτερον δὲ τὴν ἄνοιαν εὖ φέρειν
τῶι cωφρονεῖν νικῶcα προυνοηcάμην.
τρίτον δ', ἐπειδὴ τοιcίδ' οὐκ ἐξήνυτον
Κύπριν κρατῆcαι, κατθανεῖν ἔδοξέ μοι,
κράτιcτον (οὐδεὶc ἀντερεῖ) βουλευμάτων.
ἐμοὶ γὰρ εἴη μήτε λανθάνειν καλὰ
μήτ' αἰcχρὰ δρώcηι μάρτυραc πολλοὺc ἔχειν.
τὸ δ' ἔργον ἤιδη τὴν νόcον τε δυcκλεᾶ,
γυνή τε πρὸc τοῖcδ' οὖc' ἐγίγνωcκον καλῶc,
μίcημα πᾶcιν· ὡc ὄλοιτο παγκάκωc
ἥτιc πρὸc ἄνδραc ἤρξατ' αἰcχύνειν λέχη
πρώτη θυραίουc. ἐκ δὲ γενναίων δόμων
τόδ' ἦρξε θηλείαιcι γίγνεcθαι κακόν·
ὅταν γὰρ αἰcχρὰ τοῖcιν ἐcθλοῖcιν δοκῆι,
ἦ κάρτα δόξει τοῖc κακοῖc γ' εἶναι καλά.
μιcῶ δὲ καὶ τὰc cώφροναc μὲν ἐν λόγοιc,
λάθραι δὲ τόλμαc οὐ καλὰc κεκτημέναc·
αἳ πῶc ποτ', ὦ δέcποινα ποντία Κύπρι,
βλέπουcιν ἐc πρόcωπα τῶν ξυνευνετῶν
οὐδὲ cκότον φρίccουcι τὸν ξυνεργάτην

τέραμνά τ᾽ οἴκων μή ποτε φθογγὴν ἀφῆι;
ἡμᾶς γὰρ αὐτὸ τοῦτ᾽ ἀποκτείνει, φίλαι,
ὡς μήποτ᾽ ἄνδρα τὸν ἐμὸν αἰσχύνας᾽ ἁλῶ,
μὴ παῖδας οὓς ἔτικτον· ἀλλ᾽ ἐλεύθεροι
παρρησίαι θάλλοντες οἰκοῖεν πόλιν
κλεινῶν Ἀθηνῶν, μητρὸς οὕνεκ᾽ εὐκλεεῖς.
δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ἦι,
ὅταν ξυνειδῆι μητρὸς ἢ πατρὸς κακά.
μόνον δὲ τοῦτό φας᾽ ἁμιλλᾶσθαι βίωι,
γνώμην δικαίαν κἀγαθὴν ὅτωι παρῆι·
κακοὺς δὲ θνητῶν ἐξέφην᾽ ὅταν τύχηι,
προθεὶς κάτοπτρον ὥστε παρθένωι νέαι,
χρόνος· παρ᾽ οἷσι μήποτ᾽ ὀφθείην ἐγώ.
Χο. φεῦ φεῦ, τὸ σῶφρον ὡς ἁπανταχοῦ καλὸν
καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται.
Τρ. δέσποιν᾽, ἐμοί τοι συμφορὰ μὲν ἀρτίως
ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον·
νῦν δ᾽ ἐννοοῦμαι φαῦλος οὖσα, κἀν βροτοῖς
αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
οὐ γὰρ περισσὸν οὐδὲν οὐδ᾽ ἔξω λόγου
πέπονθας, ὀργαὶ δ᾽ ἐς σ᾽ ἀπέσκηψαν θεᾶς.

ἐρᾶις (τί τοῦτο θαῦμα;) cὺν πολλοῖϲ βροτῶν·
κἄπειτ᾽ ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖϲ;
οὔ τἄρα λύει τοῖϲ ἐρῶϲι τῶν πέλας,
ὅσοι τε μέλλουϲ᾽, εἰ θανεῖν αὐτοὺϲ χρεών.
Κύπρις γὰρ οὐ φορητὸν ἢν πολλὴ ῥυῆι,
ἣ τὸν μὲν εἴκονθ᾽ ἡϲυχῆι μετέρχεται,
ὃν δ᾽ ἂν περιϲϲὸν καὶ φρονοῦνθ᾽ εὕρηι μέγα,
τοῦτον λαβοῦϲα πῶϲ δοκεῖϲ καθύβριϲεν.
φοιτᾶι δ᾽ ἀν᾽ αἰθέρ᾽, ἔϲτι δ᾽ ἐν θαλαϲϲίωι
κλύδωνι Κύπρις, πάντα δ᾽ ἐκ ταύτης ἔφυ·
ἥδ᾽ ἐϲτὶν ἡ ϲπείρουϲα καὶ διδοῦϲ᾽ ἔρον,
οὗ πάντες ἐϲμὲν οἱ κατὰ χθόν᾽ ἔκγονοι.
ὅϲοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
ἔχουϲιν αὐτοί τ᾽ εἰϲὶν ἐν μούϲαιϲ ἀεὶ
ἴϲαϲι μὲν Ζεὺϲ ὥϲ ποτ᾽ ἠράϲθη γάμων
Cεμέλης, ἴϲαϲι δ᾽ ὡϲ ἀνήρπαϲέν ποτε
ἡ καλλιφεγγὴϲ Κέφαλον ἐϲ θεοὺϲ Ἕωϲ
ἔρωτος οὕνεκ᾽· ἀλλ᾽ ὅμωϲ ἐν οὐρανῶι
ναίουϲι κοὐ φεύγουϲιν ἐκποδὼν θεούϲ,
ϲτέργουϲι δ᾽, οἶμαι, ξυμφορᾶι νικώμενοι.
ϲὺ δ᾽ οὐκ ἀνέξηι; χρῆν ϲ᾽ ἐπὶ ῥητοῖϲ ἄρα
πατέρα φυτεύειν ἢ ᾽πὶ δεϲπόταιϲ θεοῖϲ
ἄλλοιϲιν, εἰ μὴ τούϲδε γε ϲτέρξειϲ νόμουϲ.
πόϲουϲ δοκεῖϲ δὴ κάρτ᾽ ἔχονταϲ εὖ φρενῶν

νοσοῦνθ᾽ ὁρῶντας λέκτρα μὴ δοκεῖν ὁρᾶν;
πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσιν
συνεκκομίζειν Κύπριν; ἐν σοφοῖσι γὰρ
τόδ᾽ ἐστὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.
οὐδ᾽ ἐκπονεῖν τοι χρὴ βίον λίαν βροτούς·
οὐδὲ στέγην γὰρ ἧι κατηρεφεῖς δόμοι
καλῶς ἀκριβώσαις ἄν· ἐς δὲ τὴν τύχην
πεσοῦσ᾽ ὅσην σύ, πῶς ἂν ἐκνεῦσαι δοκεῖς;
ἀλλ᾽ εἰ τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις,
ἄνθρωπος οὖσα κάρτα γ᾽ εὖ πράξειας ἄν.
ἀλλ᾽, ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,
λῆξον δ᾽ ὑβρίζουσ᾽, οὐ γὰρ ἄλλο πλὴν ὕβρις
τάδ᾽ ἐστί, κρείσσω δαιμόνων εἶναι θέλειν,
τόλμα δ᾽ ἐρῶσα· θεὸς ἐβουλήθη τάδε·
νοσοῦσα δ᾽ εὖ πως τὴν νόσον καταστρέφου.
εἰσὶν δ᾽ ἐπωιδαὶ καὶ λόγοι θελκτήριοι·
φανήσεταί τι τῆσδε φάρμακον νόσου.
ἦ τἄρ᾽ ἂν ὀψέ γ᾽ ἄνδρες ἐξεύροιεν ἄν,
εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

Χο. Φαίδρα, λέγει μὲν ἥδε χρησιμώτερα
πρὸς τὴν παροῦσαν ξυμφοράν, αἰνῶ δὲ σέ.
ὁ δ᾽ αἶνος οὗτος δυσχερέστερος λόγων
τῶν τῆσδε καί σοι μᾶλλον ἀλγίων κλύειν.

Φα. τοῦτ᾽ ἔσθ᾽ ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
δόμους τ᾽ ἀπόλλυσ᾽, οἱ καλοὶ λίαν λόγοι·

οὐ γάρ τι τοῖϲιν ὠϲὶ τερπνὰ χρὴ λέγειν
ἀλλ᾽ ἐξ ὅτου τιϲ εὐκλεὴϲ γενήϲεται.
Τρ. τί ϲεμνομυθεῖϲ; οὐ λόγων εὐϲχημόνων
δεῖ ϲ᾽ ἀλλὰ τἀνδρόϲ. ὡϲ τάχοϲ διιϲτέον,
τὸν εὐθὺν ἐξειπόνταϲ ἀμφὶ ϲοῦ λόγον.
εἰ μὲν γὰρ ἦν ϲοι μὴ ᾽πὶ ϲυμφοραῖϲ βίοϲ
τοιαῖϲδε, ϲώφρων δ᾽ οὖϲ᾽ ἐτύγχανεϲ γυνή,
οὐκ ἄν ποτ᾽ εὐνῆϲ οὕνεχ᾽ ἡδονῆϲ τε ϲῆϲ
προῆγον ἄν ϲε δεῦρο· νῦν δ᾽ ἀγὼν μέγαϲ,
ϲῶϲαι βίον ϲόν, κοὐκ ἐπίφθονον τόδε.
Φα. ὦ δεινὰ λέξαϲ᾽, οὐχὶ ϲυγκλῄϲειϲ ϲτόμα
καὶ μὴ μεθήϲειϲ αὖθιϲ αἰϲχίϲτουϲ λόγουϲ;
Τρ. αἴϲχρ᾽, ἀλλ᾽ ἀμείνω τῶν καλῶν τάδ᾽ ἐϲτί ϲοι·
κρεῖϲϲον δὲ τοὔργον, εἴπερ ἐκϲώϲει γέ ϲε,
ἢ τοὔνομ᾽, ὧι ϲὺ κατθανῆι γαυρουμένη.
Φα. ἆ μή ϲε πρὸϲ θεῶν, εὖ λέγειϲ γὰρ αἰϲχρὰ δέ,
πέρα προβῆιϲ τῶνδ᾽· ὡϲ ὑπείργαϲμαι μὲν εὖ
ψυχὴν ἔρωτι, τἀιϲχρὰ δ᾽ ἢν λέγηιϲ καλῶϲ
ἐϲ τοῦθ᾽ ὃ φεύγω νῦν ἀναλωθήϲομαι.
Τρ. εἴ τοι δοκεῖ ϲοι, χρῆν μὲν οὔ ϲ᾽ ἁμαρτάνειν,
εἰ δ᾽ οὖν, πιθοῦ μοι· δευτέρα γὰρ ἡ χάριϲ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/237 UNIVERSITÄT LEIPZIG

ἔστιν κατ' οἴκους φίλτρα μοι θελκτήρια
ἔρωτος, ἦλθε δ' ἄρτι μοι γνώμης ἔσω,
ἅ c' οὔτ' ἐπ' αἰcχροῖc οὔτ' ἐπὶ βλάβηι φρενῶν
παύcει νόcου τῆcδ', ἢν cὺ μὴ γένηι κακή.
δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
cημεῖον, ἢ πλόκον τιν' ἢ πέπλων ἄπο,
λαβεῖν, cυνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.
Φα. πότερα δὲ χριcτὸν ἢ ποτὸν τὸ φάρμακον;
Τρ. οὐκ οἶδ'· ὄναcθαι, μὴ μαθεῖν, βούλου, τέκνον.
Φα. δέδοιχ' ὅπωc μοι μὴ λίαν φανῆιc cοφή.
Τρ. πάντ' ἂν φοβηθεῖc' ἴcθι. δειμαίνειc δὲ τί;
Φα. μή μοί τι Θηcέωc τῶνδε μηνύcηιc τόκωι.
Τρ. ἔαcον, ὦ παῖ· ταῦτ' ἐγὼ θήcω καλῶc.
μόνον cύ μοι, δέcποινα ποντία Κύπρι,
cυνεργὸc εἴηc· τἄλλα δ' οἷ' ἐγὼ φρονῶ
τοῖc ἔνδον ἡμῖν ἀρκέcει λέξαι φίλοιc.

Χο. Ἔρωc Ἔρωc, ὁ κατ' ὀμμάτων [cτρ. α
cτάζων πόθον, εἰcάγων γλυκεῖαν 526
ψυχᾶι χάριν οὓc ἐπιcτρατεύcηι,
μή μοί ποτε cὺν κακῶι φανείηc
μηδ' ἄρρυθμοc ἔλθοιc.
οὔτε γὰρ πυρὸc οὔτ' ἄcτρων ὑπέρτερον βέλοc
οἷον τὸ τᾶc Ἀφροδίταc ἵηcιν ἐκ χερῶν
Ἔρωc ὁ Διὸc παῖc.

*ἄλλως ἄλλως παρά τ' Ἀλφεῶι* [ἀντ. α
*Φοίβου τ' ἐπὶ Πυθίοις τεράμνοις*
*βούταν φόνον Ἑλλὰς ⟨αἶ'⟩ ἀέξει,*
*Ἔρωτα δέ, τὸν τύραννον ἀνδρῶν,*
*τὸν τᾶς Ἀφροδίτας*
*φιλτάτων θαλάμων κληιδοῦχον, οὐ σεβίζομεν,*
*πέρθοντα καὶ διὰ πάσας ἱέντα συμφορᾶς*
*θνατοὺς ὅταν ἔλθηι.*

*τὰν μὲν Οἰχαλίαι* [στρ. β
*πῶλον ἄζυγα λέκτρων,*
*ἄνανδρον τὸ πρὶν καὶ ἄνυμφον, οἴκων*
*ζεύξασ' ἀπ' Εὐρυτίων*
*δρομάδα ναΐδ' ὅπως τε βάκ-*
*χαν σὺν αἵματι, σὺν καπνῶι,*
*φονίοισι νυμφείοις*
*Ἀλκμήνας τόκωι Κύπρις ἐξέδωκεν· ὦ*
*τλάμων ὑμεναίων.*

*ὦ Θήβας ἱερὸν* [ἀντ. β
*τεῖχος, ὦ στόμα Δίρκας,*
*συνείποιτ' ἂν ἁ Κύπρις οἷον ἕρπει·*

*βρονтâι γὰρ ἀμφιπύρωι*
*τοκάδα τὰν διγόνοιο Βάκ-*
*χου νυμφευcαμένα πότμωι*
*φονίωι κατηύναcεν.*
*δεινὰ γὰρ τὰ πάντ' ἐπιπνεῖ, μέλιcca δ' οἵ-*
*α τιc πεπόταται.*

Φα. *cιγήcατ', ὦ γυναῖκεc· ἐξειργάcμεθα.*
Χο. *τί δ' ἐcτί, Φαίδρα, δεινὸν ἐν δόμοιcί coι;*
Φα. *ἐπίcχετ', αὐδὴν τῶν ἔcωθεν ἐκμάθω.*
Χο. *cιγῶ· τὸ μέντοι φροίμιον κακὸν τόδε.*
Φα. *ἰώ μοι, αἰαῖ·*
*ὦ δυcτάλαινα τῶν ἐμῶν παθημάτων.*
Χο. *τίνα θροεῖc αὐδάν; τίνα βοᾶιc λόγον;*
*ἔνεπε, τίc φοβεῖ cε φήμα, γύναι,*
*φρέναc ἐπίccυτοc;*
Φα. *ἀπωλόμεcθα· ταῖcδ' ἐπιcτᾶcαι πύλαιc*
*ἀκούcαθ' οἷοc κέλαδοc ἐν δόμοιc πίτνει.*
Χο. *cὺ παρὰ κλῆιθρα, coὶ μέλει πομπίμα*
*φάτιc δωμάτων·*
*ἔνεπε δ' ἔνεπέ μοι, τί ποτ' ἔβα κακόν;*
Φα. *ὁ τῆc φιλίππου παῖc Ἀμαζόνοc βοᾶι*
*Ἱππόλυτοc, αὐδῶν δεινὰ πρόcπολον κακά.*

*Χο.* ἰὰν μὲν κλύω, ϲαφὲϲ δ' οὐκ ἔχω·
γεγώνει δ' οἷα διὰ πύλαϲ ἔμολεν
ἔμολέ ϲοι βοά.
*Φα.* καὶ μὴν ϲαφῶϲ γε τὴν κακῶν προμνήϲτριαν,
τὴν δεϲπότου προδοῦϲαν ἐξαυδᾶι λέχοϲ.
*Χο.* ὤμοι ἐγὼ κακῶν· προδέδοϲαι, φίλα.
τί ϲοι μήϲομαι;
τὰ κρυπτὰ γὰρ πέφηνε, διὰ δ' ὄλλυϲαι,
αἰαῖ ἒ ἕ, πρόδοτοϲ ἐκ φίλων.
*Φα.* ἀπώλεϲέν μ' εἰποῦϲα ϲυμφορὰϲ ἐμάϲ,
φίλωϲ καλῶϲ δ' οὐ τήνδ' ἰωμένη νόϲον.
*Χο.* πῶϲ οὖν; τί δράϲειϲ, ὦ παθοῦϲ' ἀμήχανα;
*Φα.* οὐκ οἶδα πλὴν ἕν, κατθανεῖν ὅϲον τάχοϲ,
τῶν νῦν παρόντων πημάτων ἄκοϲ μόνον.

*Ιπ.* ὦ γαῖα μῆτερ ἡλίου τ' ἀναπτυχαί,
οἵων λόγων ἄρρητον εἰϲήκουϲ' ὄπα.
*Τρ.* ϲίγηϲον, ὦ παῖ, πρίν τιν' αἰϲθέϲθαι βοῆϲ.
*Ιπ.* οὐκ ἔϲτ' ἀκούϲαϲ δείν' ὅπωϲ ϲιγήϲομαι.
*Τρ.* ναί, πρόϲ ϲε τῆϲδε δεξιᾶϲ εὐωλένου.

*Ιπ.* οὐ μὴ προcοίcειc χεῖρα μηδ' ἅψηι πέπλων;
*Τρ.* ὦ πρόc cε γονάτων, μηδαμῶc μ' ἐξεργάcηι.
*Ιπ.* τί δ', εἴπερ, ὡc φήιc, μηδὲν εἴρηκαc κακόν;
*Τρ.* ὁ μῦθοc, ὦ παῖ, κοινὸc οὐδαμῶc ὅδε.
*Ιπ.* τά τοι κάλ' ἐν πολλοῖcι κάλλιον λέγειν.
*Τρ.* ὦ τέκνον, ὅρκουc μηδαμῶc ἀτιμάcηιc.
*Ιπ.* ἡ γλῶcc' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτοc.
*Τρ.* ὦ παῖ, τί δράcειc; cοὺc φίλουc διεργάcηι;
*Ιπ.* ἀπέπτυc'· οὐδεὶc ἄδικόc ἐcτί μοι φίλοc.
*Τρ.* cύγγνωθ'· ἁμαρτεῖν εἰκὸc ἀνθρώπουc, τέκνον.
*Ιπ.* ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποιc κακὸν
γυναῖκαc ἐc φῶc ἡλίου κατῴκιcαc;
εἰ γὰρ βρότειον ἤθελεc cπεῖραι γένοc,
οὐκ ἐκ γυναικῶν χρῆν παραcχέcθαι τόδε,
ἀλλ' ἀντιθένταc cοῖcιν ἐν ναοῖc βροτοὺc
ἢ χαλκὸν ἢ cίδηρον ἢ χρυcοῦ βάροc
παίδων πρίαcθαι cπέρμα του τιμήματοc,
τῆc ἀξίαc ἕκαcτον, ἐν δὲ δώμαcιν
ναίειν ἐλευθέροιcι θηλειῶν ἄτερ.
[νῦν δ' ἐc δόμουc μὲν πρῶτον ἄξεcθαι κακὸν
μέλλοντεc ὄλβον δωμάτων ἐκτίνομεν.]
τούτωι δὲ δῆλον ὡc γυνὴ κακὸν μέγα·
προcθεὶc γὰρ ὁ cπείραc τε καὶ θρέψαc πατὴρ

φερνὰϲ ἀπῴκιϲ', ὡϲ ἀπαλλαχθῆι κακοῦ.
ὁ δ' αὖ λαβὼν ἀτηρὸν ἐϲ δόμουϲ φυτὸν
γέγηθε κόϲμον προϲτιθεὶϲ ἀγάλματι
καλὸν κακίϲτωι καὶ πέπλοιϲιν ἐκπονεῖ
δύϲτηνοϲ, ὄλβον δωμάτων ὑπεξελών.
[ἔχει δ' ἀνάγκην· ὥϲτε κηδεύϲαϲ καλῶϲ
γαμβροῖϲι χαίρων ϲῴζεται πικρὸν λέχοϲ,
ἢ χρηϲτὰ λέκτρα πενθεροὺϲ δ' ἀνωφελεῖϲ
λαβὼν πιέζει τἀγαθῶι τὸ δυϲτυχέϲ.]
ῥᾶιϲτον δ' ὅτωι τὸ μηδέν· ἀλλ' ἀνωφελὴϲ
εὐηθίαι κατ' οἶκον ἵδρυται γυνή.
ϲοφὴν δὲ μιϲῶ· μὴ γὰρ ἔν γ' ἐμοῖϲ δόμοιϲ
εἴη φρονοῦϲα πλείον' ἢ γυναῖκα χρή.
τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπριϲ
ἐν ταῖϲ ϲοφαῖϲιν· ἡ δ' ἀμήχανοϲ γυνὴ
γνώμηι βραχείαι μωρίαν ἀφηιρέθη.
χρὴν δ' ἐϲ γυναῖκα πρόϲπολον μὲν οὐ περᾶν,
ἄφθογγα δ' αὐταῖϲ ϲυγκατοικίζειν δάκη
θηρῶν, ἵν' εἶχον μήτε προϲφωνεῖν τινα
μήτ' ἐξ ἐκείνων φθέγμα δέξαϲθαι πάλιν.
νῦν δ' †αἱ μὲν ἔνδον δρῶϲιν αἱ κακαὶ† κακὰ
βουλεύματ', ἔξω δ' ἐκφέρουϲι πρόϲπολοι.
ὡϲ καὶ ϲύ γ' ἡμῖν πατρόϲ, ὦ κακὸν κάρα,
λέκτρων ἀθίκτων ἦλθεϲ ἐϲ ϲυναλλαγάϲ·
ἁγὼ ῥυτοῖϲ ναϲμοῖϲιν ἐξομόρξομαι

ἐς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακός,
ὃς οὐδ' ἀκούσας τοιάδ' ἁγνεύειν δοκῶ;
εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σώιζει, γύναι·
εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφαρκτος ἡιρέθην,
οὐκ ἄν ποτ' ἔσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρί.
νῦν δ' ἐκ δόμων μέν, ἔστ' ἂν ἐκδημῆι χθονὸς
Θησεύς, ἄπειμι, σῖγα δ' ἕξομεν στόμα·
θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδὶ
πῶς νιν προσόψηι, καὶ σὺ καὶ δέσποινα σή.
[τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.]
ὄλοισθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν·
ἀεὶ γὰρ οὖν πώς εἰσι κἀκεῖναι κακαί.
ἢ νύν τις αὐτὰς σωφρονεῖν διδαξάτω
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

Φα. τάλανες ὦ κακοτυχεῖς [ἀντ.
γυναικῶν πότμοι·
τίν' ἢ νῦν τέχναν ἔχομεν ἢ λόγον
σφαλεῖσαι κάθαμμα λύειν λόγου;

ἐτύχομεν δίκας. ἰὼ γᾶ καὶ φῶς·
πᾶι ποτ᾽ ἐξαλύξω τύχας;
πῶς δὲ πῆμα κρύψω, φίλαι;
τίς ἂν θεῶν ἀρωγὸς ἢ τίς ἂν βροτῶν
πάρεδρος ἢ ξυνεργὸς ἀδίκων ἔργων
φανείη; τὸ γὰρ παρ᾽ ἡμῖν πάθος
πέραν δυσεκπέρατον ἔρχεται βίου.
κακοτυχεστάτα γυναικῶν ἐγώ.

Χο. φεῦ φεῦ, πέπρακται, κοὐ κατώρθωνται τέχναι,
δέσποινα, τῆς σῆς προσπόλου, κακῶς δ᾽ ἔχει.
Φα. ὦ παγκακίστη καὶ φίλων διαφθορεῦ,
οἷ᾽ εἰργάσω με. Ζεύς σε γεννήτωρ ἐμὸς
πρόρριζον ἐκτρίψειεν οὐτάσας πυρί.
οὐκ εἶπον, οὐ σῆς προυνοησάμην φρενός,
σιγᾶν ἐφ᾽ οἷσι νῦν ἐγὼ κακύνομαι;
σὺ δ᾽ οὐκ ἀνέσχου· τοιγὰρ οὐκέτ᾽ εὐκλεεῖς
θανούμεθ᾽. ἀλλὰ δεῖ με δὴ καινῶν λόγων·
οὗτος γὰρ ὀργῆι συντεθηγμένος φρένας
ἐρεῖ καθ᾽ ἡμῶν πατρὶ σὰς ἁμαρτίας,
ἐρεῖ δὲ Πιτθεῖ τῶι γέροντι συμφοράς,
πλήσει τε πᾶσαν γαῖαν αἰσχίστων λόγων.
ὄλοιο καὶ σὺ χὤστις ἄκοντας φίλους
πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.

Τρ. δέϲποιν᾽, ἔχειϲ μὲν τἀμὰ μέμψαϲθαι κακά,
τὸ γὰρ δάκνον ϲου τὴν διάγνωϲιν κρατεῖ·
ἔχω δὲ κἀγὼ πρὸϲ τάδ᾽, εἰ δέξηι, λέγειν.
ἔθρεψά ϲ᾽ εὔνουϲ τ᾽ εἰμί· τῆϲ νόϲου δέ ϲοι
ζητοῦϲα φάρμαχ᾽ ηὗρον οὐχ ἁβουλόμην.
εἰ δ᾽ εὖ γ᾽ ἔπραξα, κάρτ᾽ ἂν ἐν ϲοφοῖϲιν ἦ·
πρὸϲ τὰϲ τύχαϲ γὰρ τὰϲ φρέναϲ κεκτήμεθα.
Φα. ἦ γὰρ δίκαια ταῦτα κἀξαρκοῦντά μοι,
τρώϲαϲαν ἡμᾶϲ εἶτα ϲυγχωρεῖν λόγοιϲ;
Τρ. μακρηγοροῦμεν· οὐκ ἐϲωφρόνουν ἐγώ.
ἀλλ᾽ ἔϲτι κἀκ τῶνδ᾽ ὥϲτε ϲωθῆναι, τέκνον.
Φα. παῦϲαι λέγουϲα· καὶ τὰ πρὶν γὰρ οὐ καλῶϲ
παρήινεϲάϲ μοι κἀπεχείρηϲαϲ κακά.
ἀλλ᾽ ἐκποδὼν ἄπελθε καὶ ϲαυτῆϲ πέρι
φρόντιζ᾽· ἐγὼ δὲ τἀμὰ θήϲομαι καλῶϲ.
ὑμεῖϲ δέ, παῖδεϲ εὐγενεῖϲ Τροζήνιαι,
τοϲόνδε μοι παράϲχετ᾽ ἐξαιτουμένηι·
ϲιγῆι καλύψαθ᾽ ἁνθάδ᾽ εἰϲηκούϲατε.
Χο. ὄμνυμι ϲεμνὴν Ἄρτεμιν, Διὸϲ κόρην,
μηδὲν κακῶν ϲῶν ἐϲ φάοϲ δείξειν ποτέ.
Φα. καλῶϲ ἐλέξαθ᾽· ἓν δὲ †προτρέπουϲ᾽ ἐγὼ†
εὕρημα δή τι τῆϲδε ϲυμφορᾶϲ ἔχω
ὥϲτ᾽ εὐκλεᾶ μὲν παιϲὶ προϲθεῖναι βίον
αὐτή τ᾽ ὄναϲθαι πρὸϲ τὰ νῦν πεπτωκότα.
οὐ γάρ ποτ᾽ αἰϲχυνῶ γε Κρηϲίουϲ δόμουϲ

οὐδ' ἐc πρόcωπον Θηcέωc ἀφίξομαι
αἰcχροῖc ἐπ' ἔργοιc οὕνεκα ψυχῆc μιᾶc.
Χο. μέλλειc δὲ δὴ τί δρᾶν ἀνήκεcτον κακόν;
Φα. θανεῖν· ὅπωc δέ, τοῦτ' ἐγὼ βουλεύcομαι.
Χο. εὔφημοc ἴcθι. Φα. καὶ cύ γ' εὖ με νουθέτει.
ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυcί με,
ψυχῆc ἀπαλλαχθεῖcα τῆιδ' ἐν ἡμέραι
τέρψω· πικροῦ δ' ἔρωτοc ἡccηθήcομαι.
ἀτὰρ κακόν γε χἀτέρωι γενήcομαι
θανοῦc', ἵν' εἰδῆι μὴ 'πὶ τοῖc ἐμοῖc κακοῖc
ὑψηλὸc εἶναι· τῆc νόcου δὲ τῆcδέ μοι
κοινῆι μεταcχὼν cωφρονεῖν μαθήcεται.

Χο. ἠλιβάτοιc ὑπὸ κευθμῶcι γενοίμαν, [cτρ. α
ἵνα με πτεροῦccαν ὄρνιν
θεὸc ἐν ποταναῖc
  ἀγέλαιc θείη·
ἀρθείην δ' ἐπὶ πόντιον
κῦμα τᾶc 'Αδριηνᾶc
ἀκτᾶc 'Ηριδανοῦ θ' ὕδωρ,
ἔνθα πορφύρεον cταλάc-
  couc' ἐc οἶδμα τάλαιναι
κόραι Φαέθοντοc οἴκτωι δακρύων
τὰc ἠλεκτροφαεῖc αὐγάc·

Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν [ἀντ. α
ἀνύσαιμι τᾶν ἀοιδῶν,
ἵν' ὁ πορφυρέας πον-
τομέδων λίμνας
ναύταις οὐκέθ' ὁδὸν νέμει,
σεμνὸν τέρμονα κυρῶν
οὐρανοῦ, τὸν Ἄτλας ἔχει,
κρῆναί τ' ἀμβρόσιαι χέον-
ται Ζηνὸς παρὰ κοίταις,
ἵν' ὀλβιόδωρος αὔξει ζαθέα
χθὼν εὐδαιμονίαν θεοῖς.

ὦ λευκόπτερε Κρησία [στρ. β
πορθμίς, ἃ διὰ πόντιον
κῦμ' ἁλίκτυπον ἅλμας
ἐπόρευσας ἐμὰν ἄνασσαν ὀλβίων ἀπ' οἴκων
κακονυμφοτάταν ὄνασιν·
ἦ γὰρ ἀπ' ἀμφοτέρων οἱ Κρησίας ⟨τ'⟩ ἐκ γᾶς
δυσόρνις
ἔπτατο κλεινὰς Ἀθήνας Μουνίχου τ' ἀ-
καῖσιν ἐκδήσαντο πλεκτὰς πεισμάτων ἀρ-
χὰς ἐπ' ἀπείρου τε γᾶς ἔβασαν.

ἀνθ᾽ ὧν οὐχ ὁϲίων ἐρώ- [ἀντ. β
  των δεινᾶι φρέναϲ Ἀφροδί-
  ταϲ νόϲωι κατεκλάϲθη·
χαλεπᾶι δ᾽ ὑπέραντλοϲ οὖϲα ϲυμφορᾶι τεράμνων
ἄπο νυμφιδίων κρεμαϲτὸν
ἅψεται ἀμφὶ βρόχον λευκᾶι καθαρμόζουϲα δειρᾶι,
δαίμονα ϲτυγνὸν καταιδεϲθεῖϲα τάν τ᾽ εὔ-
  δοξον ἀνθαιρουμένα φήμαν ἀπαλλάϲ-
  ϲουϲά τ᾽ ἀλγεινὸν φρενῶν ἔρωτα.

Τρ. (ἔϲωθεν)
ἰοὺ ἰού·
βοηδρομεῖτε πάντεϲ οἱ πέλαϲ δόμων·
ἐν ἀγχόναιϲ δέϲποινα, Θηϲέωϲ δάμαρ.

Χο. φεῦ φεῦ, πέπρακται· βαϲιλὶϲ οὐκέτ᾽ ἔϲτι δὴ
γυνή, κρεμαϲτοῖϲ ἐν βρόχοιϲ ἠρτημένη.

Τρ. οὐ ϲπεύϲετ᾽; οὐκ οἴϲει τιϲ ἀμφιδέξιον
ϲίδηρον, ὧι τόδ᾽ ἅμμα λύϲομεν δέρηϲ;

Χο. φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾶν δόμουϲ
λῦϲαί τ᾽ ἄναϲϲαν ἐξ ἐπιϲπαϲτῶν βρόχων;
— τί δ᾽; οὐ πάρειϲι πρόϲπολοι νεανίαι;
τὸ πολλὰ πράϲϲειν οὐκ ἐν ἀϲφαλεῖ βίου.

Τρ. ὀρθώσατ᾽ ἐκτείναντες ἄθλιον νέκυν·
πικρὸν τόδ᾽ οἰκούρημα δεσπόταις ἐμοῖς.
Χο. ὄλωλεν ἡ δύστηνος, ὡς κλύω, γυνή·
ἤδη γὰρ ὡς νεκρόν νιν ἐκτείνουσι δή.

ΘΗϹΕΥϹ

γυναῖκες, ἴστε τίς ποτ᾽ ἐν δόμοις βοὴ
†ἠχὼ βαρεῖα προσπόλων† ἀφίκετο;
οὐ γάρ τί μ᾽ ὡς θεωρὸν ἀξιοῖ δόμος
πύλας ἀνοίξας εὐφρόνως προσεννέπειν.
μῶν Πιτθέως τι γῆρας εἴργασται νέον;
πρόσω μὲν ἤδη βίοτος, ἀλλ᾽ ὅμως ἔτ᾽ ἂν
λυπηρὸς ἡμῖν τούσδ᾽ ἂν ἐκλίποι δόμους.
Χο. οὐκ ἐς γέροντας ἥδε σοι τείνει τύχη,
Θησεῦ· νέοι θανόντες ἀλγύνουσί σε.
Θη. οἴμοι, τέκνων μοι μή τι συλᾶται βίος;
Χο. ζῶσιν, θανούσης μητρὸς ὡς ἄλγιστά σοι.
Θη. τί φής; ὄλωλεν ἄλοχος; ἐκ τίνος τύχης;
Χο. βρόχον κρεμαστὸν ἀγχόνης ἀνήψατο.
Θη. λύπηι παχνωθεῖσ᾽ ἢ ἀπὸ συμφορᾶς τίνος;
Χο. τοσοῦτον ἴσμεν· ἄρτι γὰρ κἀγὼ δόμους,
Θησεῦ, πάρειμι σῶν κακῶν πενθήτρια.
Θη. αἰαῖ, τί δῆτα τοῖσδ᾽ ἀνέστεμμαι κάρα
πλεκτοῖσι φύλλοις, δυστυχὴς θεωρὸς ὤν;

*χαλᾶτε κλῇθρα, πρόϲπολοι, πυλωμάτων,*
*ἐκλύεθ᾽ ἁρμούϲ, ὡϲ ἴδω πικρὰν θέαν*
*γυναικόϲ, ἥ με κατθανοῦϲ᾽ ἀπώλεϲεν.*

*Χο.* *ἰὼ ἰὼ τάλαινα μελέων κακῶν·*
*ἔπαθεϲ, εἰργάϲω*
*τοϲοῦτον ὥϲτε τούϲδε ϲυγχέαι δόμουϲ,*
*αἰαῖ τόλμαϲ,*
*βιαίωϲ θανοῦϲ᾽ ἀνοϲίωι τε ϲυμ-*
*φορᾶι, ϲᾶϲ χερὸϲ πάλαιϲμα μελέαϲ.*
*τίϲ ἄρα ϲάν, τάλαιν᾽, ἀμαυροῖ ζόαν;*

*Θη.* *ὤμοι ἐγὼ πόνων· ἔπαθον, ὦ τάλαϲ,* [*ϲτρ.*
*τὰ μάκιϲτ᾽ ἐμῶν κακῶν. ὦ τύχα,*
*ὥϲ μοι βαρεῖα καὶ δόμοιϲ ἐπεϲτάθηϲ,*
*κηλὶϲ ἄφραϲτοϲ ἐξ ἀλαϲτόρων τινόϲ·*
*κατακονὰ μὲν οὖν ἀβίοτοϲ βίου.*
*κακῶν δ᾽, ὦ τάλαϲ, πέλαγοϲ εἰϲορῶ*
*τοϲοῦτον ὥϲτε μήποτ᾽ ἐκνεῦϲαι πάλιν*

μηδ' ἐκπερᾶσαι κῦμα τῆσδε cυμφορᾶς.
τίνι λόγωι, τάλας, τίνι τύχαν cέθεν
βαρύποτμον, γύναι, προcαυδῶν τύχω;
ὄρνις γὰρ ὥς τις ἐκ χερῶν ἄφαντος εἶ,
πήδημ' ἐς Ἅιδου κραιπνὸν ὁρμήσασά μοι.
αἰαῖ αἰαῖ, μέλεα μέλεα τάδε πάθη·
πρόσωθεν δέ ποθεν ἀνακομίζομαι
τύχαν δαιμόνων ἀμπλακίαισι τῶν
πάροιθέν τινος.

Χο. οὐ σοὶ τάδ', ὦναξ, ἦλθε δὴ μόνωι κακά,
πολλῶν μετ' ἄλλων δ' ὤλεσας κεδνὸν λέχος.

Θη. τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας [ἀντ.
μετοικεῖν σκότωι θανών, ὦ τλάμων,
τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας·
ἀπώλεσας γὰρ μᾶλλον ἢ κατέφθισο.
†τίνος κλύω† πόθεν θανάσιμος τύχα,
γύναι, σὰν ἔβα, τάλαινα, κραδίαν;
εἴποι τις ἂν τὸ πραχθέν, ἢ μάτην ὄχλον
στέγει τυραννὸν δῶμα προσπόλων ἐμῶν;
ὤμοι μοι ⟨ ⟩ σέθεν,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/252 UNIVERSITÄT LEIPZIG

μέλεος, οἷον εἶδον ἄλγος δόμων,
οὐ τλητὸν οὐδὲ ῥητόν. ἀλλ᾽ ἀπωλόμην·
ἔρημος οἶκος, καὶ τέκν᾽ ὀρφανεύεται.
⟨αἰαῖ αἰαῖ,⟩ ἔλιπες ἔλιπες, ὦ φίλα
γυναικῶν ἀρίcτα θ᾽ ὁπόcας ὁρᾶι
φέγγος θ᾽ ἁλίοιο καὶ νυκτὸς ἀ-
cτερωπὸν cέλας.

Χο. ὦ τάλας, ὅcον κακὸν ἔχει δόμος·
δάκρυcί μου βλέφαρα καταχυθέντα τέγ-
γεται cᾶι τύχαι.
τὸ δ᾽ ἐπὶ τῶιδε πῆμα φρίccω πάλαι.

Θη. ἔα ἔα·
τί δή ποθ᾽ ἥδε δέλτος ἐκ φίλης χερὸς
ἠρτημένη; θέλει τι cημῆναι νέον;
ἀλλ᾽ ἦ λέχους μοι καὶ τέκνων ἐπιcτολὰς
ἔγραψεν ἡ δύcτηνος, ἐξαιτουμένη;
θάρcει, τάλαινα· λέκτρα γὰρ τὰ Θηcέως
οὐκ ἔcτι δῶμά θ᾽ ἥτις εἴcειcιν γυνή.
καὶ μὴν τύποι γε cφενδόνης χρυcηλάτου
τῆς οὐκέτ᾽ οὔcης οἵδε προccαίνουcί με.
φέρ᾽ ἐξελίξας περιβολὰς cφραγιcμάτων
ἴδω τί λέξαι δέλτος ἥδε μοι θέλει.

Χο. φεῦ φεῦ, τόδ' αὖ νεοχμὸν ἐκδοχαῖϲ
ἐπειϲφρεῖ θεὸϲ κακόν· †ἐμοὶ [μὲν οὖν ἀβίοτοϲ βίου]
τύχα πρὸϲ τὸ κρανθὲν εἴη τυχεῖν·†
ὀλομένουϲ γάρ, οὐκέτ' ὄνταϲ, λέγω,
φεῦ φεῦ, τῶν ἐμῶν τυράννων δόμουϲ.
[ὦ δαῖμον, εἴ πωϲ ἔϲτι, μὴ ϲφήληιϲ δόμουϲ,
αἰτουμένηϲ δὲ κλῦθί μου· πρὸϲ γάρ τινοϲ
οἰωνὸν ὥϲτε μάντιϲ εἰϲορῶ κακόν.]
Θη. οἴμοι, τόδ' οἷον ἄλλο πρὸϲ κακῶι κακόν,
οὐ τλητὸν οὐδὲ λεκτόν· ὦ τάλαϲ ἐγώ.
Χο. τί χρῆμα; λέξον, εἴ τί μοι λόγου μέτα.
Θη. βοᾶι βοᾶι δέλτοϲ ἄλαϲτα· πᾶι φύγω
βάροϲ κακῶν; ἀπὸ γὰρ ὀλόμενοϲ οἴχομαι,
οἷον οἷον εἶδον γραφαῖϲ μέλοϲ
φθεγγόμενον τλάμων.
Χο. αἰαῖ, κακῶν ἀρχηγὸν ἐκφαίνειϲ λόγον.
Θη. τόδε μὲν οὐκέτι ϲτόματοϲ ἐν πύλαιϲ
καθέξω δυϲεκπέρατον ὀλοὸν
κακόν· ἰὼ πόλιϲ.
Ἱππόλυτοϲ εὐνῆϲ τῆϲ ἐμῆϲ ἔτλη θιγεῖν

βίαι, τὸ ϲεμνὸν Ζηνὸϲ ὄμμ᾽ ἀτιμάϲαϲ.
ἀλλ᾽, ὦ πάτερ Πόϲειδον, ἃϲ ἐμοί ποτε
ἀρὰϲ ὑπέϲχου τρεῖϲ, μιᾶι κατέργαϲαι
τούτων ἐμὸν παῖδ᾽, ἡμέραν δὲ μὴ φύγοι
τήνδ᾽, εἴπερ ἡμῖν ὤπαϲαϲ ϲαφεῖϲ ἀράϲ.

Χο. ἄναξ, ἀπεύχου ταῦτα πρὸϲ θεῶν πάλιν,
γνώϲηι γὰρ αὖθιϲ ἀμπλακών· ἐμοὶ πιθοῦ.

Θη. οὐκ ἔϲτι. καὶ πρόϲ γ᾽ ἐξελῶ ϲφε τῆϲδε γῆϲ,
δυοῖν δὲ μοίραιν θατέραι πεπλήξεται·
ἢ γὰρ Ποϲειδῶν αὐτὸν εἰϲ Ἅιδου δόμουϲ
θανόντα πέμψει τὰϲ ἐμὰϲ ἀρὰϲ ϲέβων
ἢ τῆϲδε χώραϲ ἐκπεϲὼν ἀλώμενοϲ
ξένην ἐπ᾽ αἶαν λυπρὸν ἀντλήϲει βίον.

Χο. καὶ μὴν ὅδ᾽ αὐτὸϲ παῖϲ ϲὸϲ ἐϲ καιρὸν πάρα
Ἱππόλυτοϲ· ὀργῆϲ δ᾽ ἐξανεὶϲ κακῆϲ, ἄναξ
Θηϲεῦ, τὸ λῶιϲτον ϲοῖϲι βούλευϲαι δόμοιϲ.

Ιπ. κραυγῆϲ ἀκούϲαϲ ϲῆϲ ἀφικόμην, πάτερ,
ϲπουδῆι· τὸ μέντοι πρᾶγμ᾽ ὅτωι ϲτένειϲ ἔπι
οὐκ οἶδα, βουλοίμην δ᾽ ἂν ἐκ ϲέθεν κλύειν.
ἔα, τί χρῆμα; ϲὴν δάμαρθ᾽ ὁρῶ, πάτερ,
νεκρόν· μεγίϲτου θαύματοϲ τόδ᾽ ἄξιον·
ἣν ἀρτίωϲ ἔλειπον, ἣ φάοϲ τόδε
οὔπω χρόνοϲ παλαιὸϲ εἰϲεδέρκετο.
τί χρῆμα πάϲχει; τῶι τρόπωι διόλλυται;
πάτερ, πυθέϲθαι βούλομαι ϲέθεν πάρα.

σιγᾶις; σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς.
[ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν
κἀν τοῖς κακοῖσι λίχνος οὖς' ἁλίσκεται.]
οὐ μὴν φίλους γε, κἄτι μᾶλλον ἢ φίλους,
κρύπτειν δίκαιον σάς, πάτερ, δυσπραξίας.
Θη. ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δὴ τέχνας μὲν μυρίας διδάσκετε
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε,
ἓν δ' οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω,
φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς;
Ιπ. δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάσαι.
ἀλλ' οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς, πάτερ,
δέδοικα μή σου γλῶσσ' ὑπερβάλληι κακοῖς.
Θη. φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
ὅστις τ' ἀληθής ἐστιν ὅς τε μὴ φίλος,
δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
τὴν μὲν δικαίαν τὴν δ' ὅπως ἐτύγχανεν,
ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο
πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.
Ιπ. ἀλλ' ἦ τις ἐς σὸν οὖς με διαβαλὼν ἔχει
φίλων, νοσοῦμεν δ' οὐδὲν ὄντες αἴτιοι;

ἔκ τοι πέπληγμαι· cοὶ γὰρ ἐκπλήccουcί με
λόγοι, παραλλάccοντεc ἔξεδροι φρενῶν.
Θη. φεῦ τῆc βροτείαc—ποῖ προβήcεται;—φρενόc.
τί τέρμα τόλμηc καὶ θράcουc γενήcεται;
εἰ γὰρ κατ' ἀνδρὸc βίοτον ἐξογκώcεται,
ὁ δ' ὕcτεροc τοῦ πρόcθεν εἰc ὑπερβολὴν
πανοῦργοc ἔcται, θεοῖcι προcβαλεῖν χθονὶ
ἄλλην δεήcει γαῖαν ἣ χωρήcεται
τοὺc μὴ δικαίουc καὶ κακοὺc πεφυκόταc.
cκέψαcθε δ' ἐc τόνδ', ὅcτιc ἐξ ἐμοῦ γεγὼc
ἤιcχυνε τἀμὰ λέκτρα κἀξελέγχεται
πρὸc τῆc θανούcηc ἐμφανῶc κάκιcτοc ὤν.
δεῖξον δ', ἐπειδή γ' ἐc μίαcμ' ἐλήλυθα,
τὸ cὸν πρόcωπον δεῦρ' ἐναντίον πατρί.
cὺ δὴ θεοῖcιν ὡc περιccὸc ὢν ἀνὴρ
ξύνει; cὺ cώφρων καὶ κακῶν ἀκήρατοc;
οὐκ ἂν πιθοίμην τοῖcι coῖc κόμποιc ἐγὼ
θεοῖcι προcθεὶc ἀμαθίαν φρονεῖν κακῶc.
ἤδη νυν αὔχει καὶ δι' ἀψύχου βορᾶc
cίτοιc καπήλευ' Ὀρφέα τ' ἄνακτ' ἔχων
βάκχευε πολλῶν γραμμάτων τιμῶν καπνούc·
ἐπεί γ' ἐλήφθηc. τοὺc δὲ τοιούτουc ἐγὼ
φεύγειν προφωνῶ πᾶcι· θηρεύουcι γὰρ
cεμνοῖc λόγοιcιν, αἰcχρὰ μηχανώμενοι.
τέθνηκεν ἥδε· τοῦτό c' ἐκcώcειν δοκεῖc;
ἐν τῶιδ' ἁλίcκηι πλεῖcτον, ὦ κάκιcτε cύ·
ποῖοι γὰρ ὅρκοι κρείccονεc, τίνεc λόγοι
τῆcδ' ἂν γένοιντ' ἄν, ὥcτε c' αἰτίαν φυγεῖν;
μιcεῖν cε φήcειc τήνδε, καὶ τὸ δὴ νόθον

τοῖς γνησίοισι πολέμιον πεφυκέναι;
κακὴν ἄρ' αὐτὴν ἔμπορον βίου λέγεις
εἰ δυσμενείαι σῆι τὰ φίλτατ' ὤλεσεν.
ἀλλ' ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
γυναιξὶ δ' ἐμπέφυκεν; οἶδ' ἐγὼ νέους
οὐδὲν γυναικῶν ὄντας ἀσφαλεστέρους,
ὅταν ταράξηι Κύπρις ἡβῶσαν φρένα·
τὸ δ' ἄρσεν αὐτοὺς ὠφελεῖ προσκείμενον.
νῦν οὖν—τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις
νεκροῦ παρόντος μάρτυρος σαφεστάτου;
ἔξερρε γαίας τῆσδ' ὅσον τάχος φυγάς,
καὶ μήτ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς
μήτ' εἰς ὅρους γῆς ἧς ἐμὸν κρατεῖ δόρυ.
εἰ γὰρ παθών γέ σου τάδ' ἡσσηθήσομαι,
οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις ποτὲ
κτανεῖν ἑαυτὸν ἀλλὰ κομπάζειν μάτην,
οὐδ' αἱ θαλάσσηι σύννομοι Σκιρωνίδες
φήσουσι πέτραι τοῖς κακοῖς μ' εἶναι βαρύν.

Χο. οὐκ οἶδ' ὅπως εἴποιμ' ἂν εὐτυχεῖν τινα
θνητῶν· τὰ γὰρ δὴ πρῶτ' ἀνέστραπται πάλιν.

Ιπ. πάτερ, μένος μὲν ξύντασίς τε σῶν φρενῶν
δεινή· τὸ μέντοι πρᾶγμ', ἔχον καλοὺς λόγους,
εἴ τις διαπτύξειεν οὐ καλὸν τόδε.
ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,
ἐς ἥλικας δὲ κὠλίγους σοφώτερος·

ἔχει δὲ μοῖραν καὶ τόδ᾽· οἱ γὰρ ἐν ϲοφοῖϲ
φαῦλοι παρ᾽ ὄχλωι μουϲικώτεροι λέγειν.
ὅμωϲ δ᾽ ἀνάγκη, ξυμφορᾶϲ ἀφιγμένηϲ,
γλῶϲϲάν μ᾽ ἀφεῖναι. πρῶτα δ᾽ ἄρξομαι λέγειν
ὅθεν μ᾽ ὑπῆλθεϲ πρῶτον ὡϲ διαφθερῶν
οὐκ ἀντιλέξοντ᾽. εἰϲορᾶιϲ φάοϲ τόδε
καὶ γαῖαν· ἐν τοῖϲδ᾽ οὐκ ἔνεϲτ᾽ ἀνὴρ ἐμοῦ,
οὐδ᾽ ἢν ϲὺ μὴ φῆιϲ, ϲωφρονέϲτεροϲ γεγώϲ.
ἐπίϲταμαι γὰρ πρῶτα μὲν θεοὺϲ ϲέβειν
φίλοιϲ τε χρῆϲθαι μὴ ἀδικεῖν πειρωμένοιϲ
ἀλλ᾽ οἷϲιν αἰδὼϲ μήτ᾽ ἐπαγγέλλειν κακὰ
μήτ᾽ ἀνθυπουργεῖν αἰϲχρὰ τοῖϲι χρωμένοιϲ,
οὐκ ἐγγελαϲτὴϲ τῶν ὁμιλούντων, πάτερ,
ἀλλ᾽ αὑτὸϲ οὐ παροῦϲι κἀγγὺϲ ὢν φίλοιϲ.
ἑνὸϲ δ᾽ ἄθικτοϲ, ὧι με νῦν ἔχειν δοκεῖϲ·
λέχουϲ γὰρ ἐϲ τόδ᾽ ἡμέραϲ ἁγνὸν δέμαϲ.
οὐκ οἶδα πρᾶξιν τήνδε πλὴν λόγωι κλύων
γραφῆι τε λεύϲϲων· οὐδὲ ταῦτα γὰρ ϲκοπεῖν
πρόθυμόϲ εἰμι, παρθένον ψυχὴν ἔχων.
καὶ δὴ τὸ ϲῶφρον τοὐμὸν οὐ πείθει ϲ᾽· ἴτω·
δεῖ δή ϲε δεῖξαι τῶι τρόπωι διεφθάρην.
πότερα τὸ τῆϲδε ϲῶμ᾽ ἐκαλλιϲτεύετο
παϲῶν γυναικῶν; ἢ ϲὸν οἰκήϲειν δόμον
ἔγκληρον εὐνὴν προϲλαβὼν ἐπήλπιϲα;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/259 UNIVERSITÄT LEIPZIG

μάταιος ἆρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν.
ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖσι σώφροσιν;
†ἥκιστά γ', εἰ μὴ† τὰς φρένας διέφθορεν
θνητῶν ὅσοισιν ἁνδάνει μοναρχία.
ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς
πρῶτος θέλοιμ' ἄν, ἐν πόλει δὲ δεύτερος
σὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις·
πράσσειν τε γὰρ πάρεστι, κίνδυνός τ' ἀπὼν
κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.
ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ' ἄλλ' ἔχεις·
εἰ μὲν γὰρ ἦν μοι μάρτυς οἷός εἰμ' ἐγὼ
καὶ τῆσδ' ὁρώσης φέγγος ἠγωνιζόμην,
ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών·
νῦν δ' ὅρκιόν σοι Ζῆνα καὶ πέδον χθονὸς
ὄμνυμι τῶν σῶν μήποθ' ἅψασθαι γάμων
μηδ' ἂν θελῆσαι μηδ' ἂν ἔννοιαν λαβεῖν.
ἦ τἄρ' ὀλοίμην ἀκλεὴς ἀνώνυμος
[ἄπολις ἄοικος, φυγὰς ἀλητεύων χθόνα,]
καὶ μήτε πόντος μήτε γῆ δέξαιτό μου
σάρκας θανόντος, εἰ κακὸς πέφυκ' ἀνήρ.
τί δ' ἥδε δειμαίνους' ἀπώλεσεν βίον
οὐκ οἶδ', ἐμοὶ γὰρ οὐ θέμις πέρα λέγειν·
ἐσωφρόνησε δ' οὐκ ἔχουσα σωφρονεῖν,
ἡμεῖς δ' ἔχοντες οὐ καλῶς ἐχρώμεθα.

Χο. ἀρκοῦϲαν εἶπαϲ αἰτίαϲ ἀποϲτροφὴν
ὅρκουϲ παραϲχών, πίϲτιν οὐ ϲμικράν, θεῶν.
Θη. ἆρ᾽ οὐκ ἐπωιδὸϲ καὶ γόηϲ πέφυχ᾽ ὅδε,
ὃϲ τὴν ἐμὴν πέποιθεν εὐοργηϲίαι
ψυχὴν κρατήϲειν, τὸν τεκόντ᾽ ἀτιμάϲαϲ;
Ιπ. καὶ ϲοῦ γε ταὐτὰ κάρτα θαυμάζω, πάτερ·
εἰ γὰρ ϲὺ μὲν παῖϲ ἦϲθ᾽, ἐγὼ δὲ ϲὸϲ πατήρ,
ἔκτεινά τοί ϲ᾽ ἂν κοὐ φυγαῖϲ ἐζημίουν,
εἴπερ γυναικὸϲ ἠξίουϲ ἐμῆϲ θιγεῖν.
Θη. ὡϲ ἄξιον τόδ᾽ εἶπαϲ. οὐχ οὕτω θανῆι,
ὥϲπερ ϲὺ ϲαυτῶι τόνδε προύθηκαϲ νόμον·
ταχὺϲ γὰρ Ἅιδηϲ ῥᾶιϲτοϲ ἀνδρὶ δυϲτυχεῖ·
ἀλλ᾽ ἐκ πατρώιαϲ φυγὰϲ ἀλητεύων χθονὸϲ
ξένην ἐπ᾽ αἶαν λυπρὸν ἀντλήϲειϲ βίον.
[μιϲθὸϲ γὰρ οὗτόϲ ἐϲτιν ἀνδρὶ δυϲϲεβεῖ.]
Ιπ. οἴμοι, τί δράϲειϲ; οὐδὲ μηνυτὴν χρόνον
δέξηι καθ᾽ ἡμῶν, ἀλλά μ᾽ ἐξελᾶιϲ χθονόϲ;
Θη. πέραν γε Πόντου καὶ τόπων Ἀτλαντικῶν,
εἴ πωϲ δυναίμην, ὡϲ ϲὸν ἐχθαίρω κάρα.
Ιπ. οὐδ᾽ ὅρκον οὐδὲ πίϲτιν οὐδὲ μάντεων
φήμαϲ ἐλέγξαϲ ἄκριτον ἐκβαλεῖϲ με γῆϲ;
Θη. ἡ δέλτοϲ ἥδε κλῆρον οὐ δεδεγμένη
κατηγορεῖ ϲου πιϲτά· τοὺϲ δ᾽ ὑπὲρ κάρα
φοιτῶνταϲ ὄρνιϲ πόλλ᾽ ἐγὼ χαίρειν λέγω.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/261 UNIVERSITÄT LEIPZIG

Ιπ. ὦ θεοί, τί δῆτα τοὐμὸν οὐ λύω στόμα,
ὅστις γ' ὑφ' ὑμῶν, οὓς σέβω, διόλλυμαι;
οὐ δῆτα· πάντως οὐ πίθοιμ' ἂν οὕς με δεῖ,
μάτην δ' ἂν ὅρκους συγχέαιμ' οὓς ὤμοσα.
Θη. οἴμοι, τὸ σεμνὸν ὥς μ' ἀποκτενεῖ τὸ σόν.
οὐκ εἶ πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς;
Ιπ. ποῖ δῆθ' ὁ τλήμων τρέψομαι; τίνος ξένων
δόμους ἔσειμι, τῆιδ' ἐπ' αἰτίαι φυγών;
Θη. ὅστις γυναικῶν λυμεῶνας ἥδεται
ξένους κομίζων καὶ ξυνοικούρους κακῶν.
Ιπ. αἰαῖ, πρὸς ἧπαρ· δακρύων ἐγγὺς τόδε,
εἰ δὴ κακός γε φαίνομαι δοκῶ τε σοί.
Θη. τότε στενάζειν καὶ προγιγνώσκειν σ' ἐχρῆν
ὅτ' ἐς πατρῴαν ἄλοχον ὑβρίζειν ἔτλης.
Ιπ. ὦ δώματ', εἴθε φθέγμα γηρύσαισθέ μοι
καὶ μαρτυρήσαιτ' εἰ κακὸς πέφυκ' ἀνήρ.
Θη. ἐς τοὺς ἀφώνους μάρτυρας φεύγεις σοφῶς·
τὸ δ' ἔργον οὐ λέγον σε μηνύει κακόν.
Ιπ. φεῦ·
εἴθ' ἦν ἐμαυτὸν προσβλέπειν ἐναντίον
στάνθ', ὡς ἐδάκρυσ' οἷα πάσχομεν κακά.
Θη. πολλῶι γε μᾶλλον σαυτὸν ἤσκησας σέβειν
ἢ τοὺς τεκόντας ὅσια δρᾶν δίκαιος ὤν.

Ιπ. ὦ δυcτάλαινα μῆτερ, ὦ πικραὶ γοναί·
μηδείc ποτ᾽ εἴη τῶν ἐμῶν φίλων νόθοc.
Θη. οὐχ ἕλξετ᾽ αὐτόν, δμῶεc; οὐκ ἀκούετε
πάλαι ξενοῦcθαι τόνδε προυννέποντά με;
Ιπ. κλαίων τιc αὐτῶν ἆρ᾽ ἐμοῦ γε θίξεται·
cὺ δ᾽ αὐτόc, εἴ cοι θυμόc, ἐξώθει χθονόc.
Θη. δράcω τάδ᾽, εἰ μὴ τοῖc ἐμοῖc πείcηι λόγοιc·
οὐ γάρ τιc οἶκτοc cῆc μ᾽ ὑπέρχεται φυγῆc.
Ιπ. ἄραρεν, ὡc ἔοικεν. ὦ τάλαc ἐγώ,
ὡc οἶδα μὲν ταῦτ᾽, οἶδα δ᾽ οὐχ ὅπωc φράcω.
ὦ φιλτάτη μοι δαιμόνων Λητοῦc κόρη,
cύνθακε, cυγκύναγε, φευξούμεcθα δὴ
κλεινὰc ᾽Αθήναc. ἀλλὰ χαιρέτω πόλιc
καὶ γαῖ᾽ ᾽Ερεχθέωc· ὦ πέδον Τροζήνιον,
ὡc ἐγκαθηβᾶν πόλλ᾽ ἔχειc εὐδαίμονα,
χαῖρ᾽· ὕcτατον γάρ c᾽ εἰcορῶν προcφθέγγομαι.
ἴτ᾽, ὦ νέοι μοι τῆcδε γῆc ὁμήλικεc,
προcείπαθ᾽ ἡμᾶc καὶ προπέμψατε χθονόc·
ὡc οὔποτ᾽ ἄλλον ἄνδρα cωφρονέcτερον
ὄψεcθε, κεἰ μὴ ταῦτ᾽ ἐμῶι δοκεῖ πατρί.

ΘΕΡΑΠΟΝΤΕC

ἦ μέγα μοι τὰ θεῶν μελεδήμαθ᾽, ὅταν φρέναc [cτρ. α
ἔλθηι,
λύπαc παραιρεῖ· ξύνεcιν δέ τιν᾽ ἐλπίδι κεύθων
λείπομαι ἔν τε τύχαιc θνατῶν καὶ ἐν ἔργμαcι
λεύccων·

ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται, μετὰ δ' ἵσταται
    ἀνδράσιν αἰὼν
πολυπλάνητος αἰεί.

Χο. εἴθε μοι εὐξαμέναι θεόθεν τάδε μοῖρα [ἀντ. α
    παράσχοι,
τύχαν μετ' ὄλβου καὶ ἀκήρατον ἄλγεσι θυμόν·
δόξα δὲ μήτ' ἀτρεκὴς μήτ' αὖ παράσημος
    ἐνείη,
ῥάιδια δ' ἤθεα τὸν αὔριον μεταβαλλομένα χρόνον αἰεὶ
βίον συνευτυχοίην.

Θε. οὐκέτι γὰρ καθαρὰν φρέν' ἔχω, παρὰ δ' ἐλπίδ' [στρ. β
    ἃ λεύσσω·
ἐπεὶ τὸν Ἑλλανίας φανερώτατον ἀστέρ' Ἀφαίας
εἴδομεν εἴδομεν ἐκ πατρὸς ὀργᾶς
ἄλλαν ἐπ' αἶαν ἱέμενον.
ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς,
ὦ δρυμὸς ὄρεος ὅθι κυνῶν

ὠκυπόδων μέτα θῆραϲ ἔναιρεν
Δίκτυνναν ἀμφὶ ϲεμνάν.

Χο. οὐκέτι ϲυζυγίαν πώλων Ἐνετᾶν ἐπιβάϲηι [ἀντ. β
τὸν ἀμφὶ Λίμναϲ τρόχον κατέχων ποδὶ
γυμνάδοϲ ἵππου·
μοῦϲα δ' ἄυπνοϲ ὑπ' ἄντυγι χορδᾶν
λήξει πατρῷιον ἀνὰ δόμον·
ἀϲτέφανοι δὲ κόραϲ ἀνάπαυλαι
Λατοῦϲ βαθεῖαν ἀνὰ χλόαν·
νυμφιδία δ' ἀπόλωλε φυγᾶι ϲᾶι
λέκτρων ἅμιλλα κούραιϲ.

ἐγὼ δὲ ϲᾶι δυϲτυχίαι [ἐπῳδ.
δάκρυϲιν διοίϲω
πότμον ἄποτμον. ὦ τάλαινα μᾶτερ,
ἔτεκεϲ ἀνόνατα· φεῦ,
μανίω θεοῖϲιν.
ἰὼ ἰώ·
ϲυζύγιαι Χάριτεϲ, τί τὸν τάλαν' ἐκ πατρίαϲ γᾶϲ
οὐδὲν ἄταϲ αἴτιον
πέμπετε τῶνδ' ἀπ' οἴκων;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/265 UNIVERSITÄT LEIPZIG

καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ᾽ εἰcορῶ
cπουδῆι cκυθρωπὸν πρὸc δόμουc ὁρμώμενον.

ΑΓΓΕΛΟϹ

ποῖ γῆc ἄνακτα τῆcδε Θηcέα μολὼν
εὕροιμ᾽ ἄν, ὦ γυναῖκεc; εἴπερ ἴcτε μοι
cημήνατ᾽· ἆρα τῶνδε δωμάτων ἔcω;

Χο. ὅδ᾽ αὐτὸc ἔξω δωμάτων πορεύεται.

Αγ. Θηcεῦ, μερίμνηc ἄξιον φέρω λόγον
cοὶ καὶ πολίταιc οἵ τ᾽ Ἀθηναίων πόλιν
ναίουcι καὶ γῆc τέρμοναc Τροζηνίαc.

Θη. τί δ᾽ ἔcτι; μῶν τιc cυμφορὰ νεωτέρα
διccὰc κατείληφ᾽ ἀcτυγείτοναc πόλειc;

Αγ. Ἱππόλυτοc οὐκέτ᾽ ἔcτιν, ὡc εἰπεῖν ἔποc·
δέδορκε μέντοι φῶc ἐπὶ cμικρᾶc ῥοπῆc.

Θη. πρὸc τοῦ; δι᾽ ἔχθραc μῶν τιc ἦν ἀφιγμένοc
ὅτου κατήιcχυν᾽ ἄλοχον ὡc πατρὸc βίαι;

Αγ. οἰκεῖοc αὐτὸν ὤλεc᾽ ἁρμάτων ὄχοc
ἀραί τε τοῦ cοῦ cτόματοc, ἃc cὺ cῶι πατρὶ
πόντου κρέοντι παιδὸc ἠράcω πέρι.

Θη. ὦ θεοί, Πόcειδόν θ᾽· ὡc ἄρ᾽ ἦcθ᾽ ἐμὸc πατὴρ
ὀρθῶc, ἀκούcαc τῶν ἐμῶν κατευγμάτων.
πῶc καὶ διώλετ᾽; εἰπέ, τῶι τρόπωι Δίκηc
ἔπαιcεν αὐτὸν ῥόπτρον αἰcχύναντά με;

Αγ. ἡμεῖc μὲν ἀκτῆc κυμοδέγμονοc πέλαc
ψήκτραιcιν ἵππων ἐκτενίζομεν τρίχαc
κλαίοντεc· ἦλθε γάρ τιc ἄγγελοc λέγων

ὡϲ οὐκέτ᾽ ἐν γῆι τῆιδ᾽ ἀναϲτρέψοι πόδα
Ἱππόλυτοϲ, ἐκ ϲοῦ τλήμοναϲ φυγὰϲ ἔχων.
ὁ δ᾽ ἦλθε ταὐτὸν δακρύων ἔχων μέλοϲ
ἡμῖν ἐπ᾽ ἀκτάϲ, μυρία δ᾽ ὀπιϲθόπουϲ
φίλων ἅμ᾽ ἔϲτειχ᾽ ἡλίκων ⟨θ᾽⟩ ὁμήγυριϲ.
χρόνωι δὲ δή ποτ᾽ εἶπ᾽ ἀπαλλαχθεὶϲ γόων·
Τί ταῦτ᾽ ἀλύω; πειϲτέον πατρὸϲ λόγοιϲ.
ἐντύναθ᾽ ἵππουϲ ἅρμαϲι ζυγηφόρουϲ,
δμῶεϲ, πόλιϲ γὰρ οὐκέτ᾽ ἔϲτιν ἥδε μοι.
τοὐνθένδε μέντοι πᾶϲ ἀνὴρ ἠπείγετο,
καὶ θᾶϲϲον ἢ λέγοι τιϲ ἐξηρτυμέναϲ
πώλουϲ παρ᾽ αὐτὸν δεϲπότην ἐϲτήϲαμεν.
μάρπτει δὲ χερϲὶν ἡνίαϲ ἀπ᾽ ἄντυγοϲ,
αὐταῖϲ ἐν ἀρβύλαιϲιν ἁρμόϲαϲ πόδαϲ.
καὶ πρῶτα μὲν θεοῖϲ εἶπ᾽ ἀναπτύξαϲ χέραϲ·
Ζεῦ, μηκέτ᾽ εἴην εἰ κακὸϲ πέφυκ᾽ ἀνήρ·
αἴϲθοιτο δ᾽ ἡμᾶϲ ὡϲ ἀτιμάζει πατὴρ
ἤτοι θανόνταϲ ἢ φάοϲ δεδορκόταϲ.
κἀν τῶιδ᾽ ἐπῆγε κέντρον ἐϲ χεῖραϲ λαβὼν
πώλοιϲ ἁμαρτῆι· πρόϲπολοι δ᾽ ὑφ᾽ ἅρματοϲ
πέλαϲ χαλινῶν εἱπόμεϲθα δεϲπότηι

τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν,
ἀκτή τις ἔστι τοὐπέκεινα τῆσδε γῆς
πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν.
ἔνθεν τις ἠχὼ χθόνιος, ὡς βροντὴ Διός,
βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
ὀρθὸν δὲ κρᾶτ' ἔστησαν οὖς τ' ἐς οὐρανὸν
ἵπποι, παρ' ἡμῖν δ' ἦν φόβος νεανικὸς
πόθεν ποτ' εἴη φθόγγος. ἐς δ' ἁλιρρόθους
ἀκτὰς ἀποβλέψαντες ἱερὸν εἴδομεν
κῦμ' οὐρανῶι στηρίζον, ὥστ' ἀφηιρέθη
Σκίρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν,
ἔκρυπτε δ' Ἰσθμὸν καὶ πέτραν Ἀσκληπιοῦ.
κἄπειτ' ἀνοιδῆσάν τε καὶ πέριξ ἀφρὸν
πολὺν καχλάζον ποντίωι φυσήματι
χωρεῖ πρὸς ἀκτὰς οὗ τέθριππος ἦν ὄχος.
αὐτῶι δὲ σὺν κλύδωνι καὶ τρικυμίαι
κῦμ' ἐξέθηκε ταῦρον, ἄγριον τέρας·
οὗ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη
φρικῶδες ἀντεφθέγγετ', εἰσορῶσι δὲ
κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος·
καὶ δεσπότης μὲν ἱππικοῖσιν ἤθεσιν
πολὺς ξυνοικῶν ἥρπας' ἡνίας χεροῖν,
ἕλκει δὲ κώπην ὥστε ναυβάτης ἀνήρ,
ἱμᾶσιν ἐς τοὔπισθεν ἀρτήσας δέμας·
αἱ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γνάθοις
βίαι φέρουσιν, οὔτε ναυκλήρου χερὸς

οὔθ᾽ ἱπποδέϲμων οὔτε κολλητῶν ὄχων
μεταϲτρέφουϲαι. κεἰ μὲν ἐϲ τὰ μαλθακὰ
γαίαϲ ἔχων οἴακαϲ εὐθύνοι δρόμον,
προυφαίνετ᾽ ἐϲ τὸ πρόϲθεν, ὥϲτ᾽ ἀναϲτρέφειν,
ταῦροϲ, φόβωι τέτρωρον ἐκμαίνων ὄχον·
εἰ δ᾽ ἐϲ πέτραϲ φέροιντο μαργῶϲαι φρέναϲ,
ϲιγῆι πελάζων ἄντυγι ξυνείπετο,
ἐϲ τοῦθ᾽ ἕωϲ ἔϲφηλε κἀνεχαίτιϲεν
ἁψῖδα πέτρωι προϲβαλὼν ὀχήματοϲ.
ϲύμφυρτα δ᾽ ἦν ἅπαντα· ϲύριγγέϲ τ᾽ ἄνω
τροχῶν ἐπήδων ἀξόνων τ᾽ ἐνήλατα,
αὐτὸϲ δ᾽ ὁ τλήμων ἡνίαιϲιν ἐμπλακεὶϲ
δεϲμὸν δυϲεξέλικτον ἕλκεται δεθείϲ,
ϲποδούμενοϲ μὲν πρὸϲ πέτραιϲ φίλον κάρα
θραύων τε ϲάρκαϲ, δεινὰ δ᾽ ἐξαυδῶν κλύειν·
Ϲτῆτ᾽, ὦ φάτναιϲι ταῖϲ ἐμαῖϲ τεθραμμέναι,
μή μ᾽ ἐξαλείψητ᾽. ὦ πατρὸϲ τάλαιν᾽ ἀρά·
τίϲ ἄνδρ᾽ ἄριϲτον βούλεται ϲῶϲαι παρών;
πολλοὶ δὲ βουληθέντεϲ ὑϲτέρωι ποδὶ
ἐλειπόμεϲθα. χὼ μὲν ἐκ δεϲμῶν λυθεὶϲ
τμητῶν ἱμάντων οὐ κάτοιδ᾽ ὅτωι τρόπωι
πίπτει, βραχὺν δὴ βίοτον ἐμπνέων ἔτι·
ἵπποι δ᾽ ἔκρυφθεν καὶ τὸ δύϲτηνον τέραϲ
ταύρου λεπαίαϲ οὐ κάτοιδ᾽ ὅποι χθονόϲ.
δοῦλοϲ μὲν οὖν ἔγωγε ϲῶν δόμων, ἄναξ,

ἀτὰρ τοσοῦτόν γ᾽ οὐ δυνήcομαί ποτε,
τὸν cὸν πιθέcθαι παῖδ᾽ ὅπως ἐcτὶν κακόc,
οὐδ᾽ εἰ γυναικῶν πᾶν κρεμαcθείη γένος
καὶ τὴν ἐν Ἴδηι γραμμάτων πλήcειέ τις
πεύκην· ἐπεί νιν ἐcθλὸν ὄντ᾽ ἐπίcταμαι.

Χο. αἰαῖ, κέκρανται cυμφορὰ νέων κακῶν,
οὐδ᾽ ἔcτι μοίρας τοῦ χρεών τ᾽ ἀπαλλαγή.

Θη. μίcει μὲν ἀνδρὸc τοῦ πεπονθότοc τάδε
λόγοιcιν ἥcθην τοῖcδε· νῦν δ᾽ αἰδούμενοc
θεούc τ᾽ ἐκεῖνόν θ᾽, οὕνεκ᾽ ἐcτὶν ἐξ ἐμοῦ,
οὔθ᾽ ἥδομαι τοῖcδ᾽ οὔτ᾽ ἐπάχθομαι κακοῖc.

Αλ. πῶc οὖν; κομίζειν, ἢ τί χρὴ τὸν ἄθλιον
δράcαντας ἡμᾶc cῆι χαρίζεcθαι φρενί;
φρόντιζ᾽· ἐμοῖc δὲ χρώμενοc βουλεύμαcιν
οὐκ ὠμὸc ἐc cὸν παῖδα δυcτυχοῦντ᾽ ἔcηι.

Θη. κομίζετ᾽ αὐτόν, ὡc ἰδὼν ἐν ὄμμαcιν
λόγοιc τ᾽ ἐλέγξω δαιμόνων τε cυμφοραῖc
τὸν τἄμ᾽ ἀπαρνηθέντα μὴ χρᾶναι λέχη.

Χο. cὺ τὰν θεῶν ἄκαμπτον φρένα καὶ βροτῶν
ἄγειc, Κύπρι, cὺν δ᾽ ὁ ποι-
κιλόπτεροc ἀμφιβαλὼν
ὠκυτάτωι πτερῶι·
ποτᾶται δὲ γαῖαν εὐάχητόν θ᾽
ἁλμυρὸν ἐπὶ πόντον,
θέλγει δ᾽ Ἔρωc ὧι μαινομέναι κραδίαι

πτανὸϲ ἐφορμάϲηι χρυϲοφαήϲ,
φύϲιν ὀρεϲκόων ϲκύμνων πελαγίων θ᾽
ὅϲα τε γᾶ τρέφει
τά τ᾽ αἰθόμενοϲ ἅλιοϲ δέρκεται
ἄνδραϲ τε· ϲυμπάντων βαϲιληΐδα τι-
μάν, Κύπρι, τῶνδε μόνα κρατύνειϲ.

ΑΡΤΕΜΙϹ

ϲὲ τὸν εὐπατρίδην Αἰγέωϲ κέλομαι
παῖδ᾽ ἐπακοῦϲαι·
Λητοῦϲ δὲ κόρη ϲ᾽ Ἄρτεμιϲ αὐδῶ.
Θηϲεῦ, τί τάλαϲ τοῖϲδε ϲυνήδηι,
παῖδ᾽ οὐχ ὁϲίωϲ ϲὸν ἀποκτείναϲ
ψεύδεϲι μύθοιϲ ἀλόχου πειϲθεὶϲ
ἀφανῆ; φανερὰν δ᾽ ἔϲχεθεϲ ἄτην.
πῶϲ οὐχ ὑπὸ γῆϲ τάρταρα κρύπτειϲ
δέμαϲ αἰϲχυνθείϲ,
ἢ πτηνὸν ἄνω μεταβὰϲ βίοτον
πήματοϲ ἔξω πόδα τοῦδ᾽ ἀνέχειϲ;
ὡϲ ἔν γ᾽ ἀγαθοῖϲ ἀνδράϲιν οὔ ϲοι
κτητὸν βιότου μέροϲ ἐϲτίν.

ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν.
καίτοι προκόψω γ' οὐδέν, ἀλγυνῶ δέ σε·
ἀλλ' ἐς τόδ' ἦλθον, παιδὸς ἐκδεῖξαι φρένα
τοῦ σοῦ δικαίαν, ὡς ὑπ' εὐκλείας θάνηι,
καὶ σῆς γυναικὸς οἶστρον ἢ τρόπον τινὰ
γενναιότητα. τῆς γὰρ ἐχθίστης θεῶν
ἡμῖν ὅσαισι παρθένειος ἡδονὴ
δηχθεῖσα κέντροις παιδὸς ἠράσθη σέθεν·
γνώμηι δὲ νικᾶν τὴν Κύπριν πειρωμένη
τροφοῦ διώλετ' οὐχ ἑκοῦσα μηχαναῖς,
ἣ σῶι δι' ὅρκων παιδὶ σημαίνει νόσον.
ὁ δ', ὥσπερ οὖν δίκαιον, οὐκ ἐφέσπετο
λόγοισιν, οὐδ' αὖ πρὸς σέθεν κακούμενος
ὅρκων ἀφεῖλε πίστιν, εὐσεβὴς γεγώς·
ἡ δ' εἰς ἔλεγχον μὴ πέσηι φοβουμένη
ψευδεῖς γραφὰς ἔγραψε καὶ διώλεσεν
δόλοισι σὸν παῖδ', ἀλλ' ὅμως ἔπεισέ σε.

*Θη.* οἴμοι.

*Αρ.* δάκνει σε, Θησεῦ, μῦθος; ἀλλ' ἔχ' ἥσυχος,
τοὐνθένδ' ἀκούσας ὡς ἂν οἰμώξηις πλέον.
ἆρ' οἶσθα πατρὸς τρεῖς ἀρὰς ἔχων σαφεῖς;
ὧν τὴν μίαν παρεῖλες, ὦ κάκιστε σύ,
ἐς παῖδα τὸν σόν, ἐξὸν εἰς ἐχθρῶν τινα.
πατὴρ μὲν οὖν σοι πόντιος φρονῶν καλῶς
ἔδωχ' ὅσονπερ χρῆν, ἐπείπερ ἤινεσεν·
σὺ δ' ἔν τ' ἐκείνωι κἀν ἐμοὶ φαίνηι κακός,

ὃϲ οὔτε πίϲτιν οὔτε μάντεων ὄπα
ἔμεινας, οὐκ ἤλεγξας, οὐ χρόνωι μακρῶι
ϲκέψιν παρέϲχεϲ, ἀλλὰ θᾶϲϲον ἤ ϲ' ἐχρῆν
ἀρὰϲ ἐφῆκαϲ παιδὶ καὶ κατέκτανεϲ.

*Θη.* δέϲποιν', ὀλοίμην. *Αρ.* δείν' ἔπραξαϲ, ἀλλ' ὅμωϲ
ἔτ' ἔϲτι καί ϲοι τῶνδε ϲυγγνώμηϲ τυχεῖν·
Κύπριϲ γὰρ ἤθελ' ὥϲτε γίγνεϲθαι τάδε,
πληροῦϲα θυμόν. θεοῖϲι δ' ὧδ' ἔχει νόμοϲ·
οὐδεὶϲ ἀπαντᾶν βούλεται προθυμίαι
τῆι τοῦ θέλοντοϲ, ἀλλ' ἀφιϲτάμεϲθ' ἀεί.
ἐπεί, ϲάφ' ἴϲθι, Ζῆνα μὴ φοβουμένη
οὐκ ἄν ποτ' ἦλθον ἐϲ τόδ' αἰϲχύνηϲ ἐγὼ
ὥϲτ' ἄνδρα πάντων φίλτατον βροτῶν ἐμοὶ
θανεῖν ἐᾶϲαι. τὴν δὲ ϲὴν ἁμαρτίαν
τὸ μὴ εἰδέναι μὲν πρῶτον ἐκλύει κάκηϲ·
ἔπειτα δ' ἡ θανοῦϲ' ἀνήλωϲεν γυνὴ
λόγων ἐλέγχουϲ, ὥϲτε ϲὴν πεῖϲαι φρένα.
μάλιϲτα μέν νυν ϲοὶ τάδ' ἔρρωγεν κακά,
λύπη δὲ κἀμοί· τοὺϲ γὰρ εὐϲεβεῖϲ θεοὶ
θνήιϲκονταϲ οὐ χαίρουϲι· τούϲ γε μὴν κακοὺϲ
αὐτοῖϲ τέκνοιϲι καὶ δόμοιϲ ἐξόλλυμεν.

*Χο.* καὶ μὴν ὁ τάλαϲ ὅδε δὴ ϲτείχει,
ϲάρκαϲ νεαρὰϲ ξανθόν τε κάρα

διαλυμανθείς. ὦ πόνος οἴκων,
οἷον ἐκράνθη δίδυμον μελάθροις
πένθος θεόθεν καταληπτόν.

*Ιπ.* αἰαῖ αἰαῖ·
δύστηνος ἐγώ, πατρὸς ἐξ ἀδίκου
χρησμοῖς ἀδίκοις διελυμάνθην.
ἀπόλωλα τάλας, οἴμοι μοι.
διά μου κεφαλῆς ἄισσους' ὀδύναι
κατά τ' ἐγκέφαλον πηδᾶι σφάκελος·
σχές, ἀπειρηκὸς σῶμ' ἀναπαύσω.
ἒ ἔ·
ὦ στυγνὸν ὄχημ' ἵππειον, ἐμῆς
βόσκημα χερός,
διά μ' ἔφθειρας, κατὰ δ' ἔκτεινας.
φεῦ φεῦ· πρὸς θεῶν, ἀτρέμα, δμῶες,
χροὸς ἑλκώδους ἅπτεσθε χεροῖν.
τίς ἐφέστηκεν δεξιὰ πλευροῖς;
πρόσφορά μ' αἴρετε, σύντονα δ' ἕλκετε
τὸν κακοδαίμονα καὶ κατάρατον
πατρὸς ἀμπλακίαις. Ζεῦ Ζεῦ, τάδ' ὁρᾶις;
ὅδ' ὁ σεμνὸς ἐγὼ καὶ θεοσέπτωρ,
ὅδ' ὁ σωφροσύνηι πάντας ὑπερσχών,
προὖπτον ἐς Ἅιδην στείχω, κατ' ἄκρας
ὀλέσας βίοτον, μόχθους δ' ἄλλως

τῆς εὐςεβίας
εἰς ἀνθρώπους ἐπόνηςα.

αἰαῖ αἰαῖ·
καὶ νῦν ὀδύνα μ᾽ ὀδύνα βαίνει·
μέθετέ με τάλανα,
καί μοι θάνατος παιὰν ἔλθοι.
†προςαπόλλυτέ μ᾽ ὄλλυτε τὸν δυςδαί-
μονα·† ἀμφιτόμου λόγχας ἔραμαι,
διαμοιρᾶςαι κατά τ᾽ εὐνᾶςαι
τὸν ἐμὸν βίοτον.
ὦ πατρὸς ἐμοῦ δύςτανος ἀρά·
μιαιφόνον τι ςύγγονον
παλαιῶν προγεννη-
τόρων ἐξορίζεται
κακὸν οὐδὲ μένει,
ἔμολέ τ᾽ ἐπ᾽ ἐμέ—τί ποτε, τὸν οὐ-
δὲν ὄντ᾽ ἐπαίτιον κακῶν;
ἰώ μοί μοι.
τί φῶ; πῶς ἀπαλλά-
ξω βιοτὰν ἐμὰν
τοῦδ᾽ ἀνάλγητον πάθους;

εἴθε με κοιμάσειε τὸν
δυcδαίμον' Ἅιδα μέλαι-
να νύκτερός τ' ἀνάγκα.

Αρ. ὦ τλῆμον, οἵαι cυμφορᾶι cυνεζύγης·
τὸ δ' εὐγενές cε τῶν φρενῶν ἀπώλεcεν.
Ιπ. ἔα·
ὦ θεῖον ὀcμῆc πνεῦμα· καὶ γὰρ ἐν κακοῖc
ὢν ᾐcθόμην cου κἀνεκουφίcθην δέμαc.
ἔcτ' ἐν τόποιcι τοιcίδ' Ἄρτεμιc θεά.
Αρ. ὦ τλῆμον, ἔcτι, cοί γε φιλτάτη θεῶν.
Ιπ. ὁρᾶιc με, δέcποιν', ὡc ἔχω, τὸν ἄθλιον;
Αρ. ὁρῶ· κατ' ὄccων δ' οὐ θέμιc βαλεῖν δάκρυ.
Ιπ. οὐκ ἔcτι cοι κυναγὸc οὐδ' ὑπηρέτηc.
Αρ. οὐ δῆτ'· ἀτάρ μοι προcφιλήc γ' ἀπόλλυcαι.
Ιπ. οὐδ' ἱππονώμαc οὐδ' ἀγαλμάτων φύλαξ.
Αρ. Κύπριc γὰρ ἡ πανοῦργοc ὧδ' ἐμήcατο.
Ιπ. οἴμοι, φρονῶ δὴ δαίμον' ἥ μ' ἀπώλεcεν.
Αρ. τιμῆc ἐμέμφθη, cωφρονοῦντι δ' ἤχθετο.
Ιπ. τρεῖc ὄνταc ἡμᾶc ὤλεc', ᾔcθημαι, μία.
Αρ. πατέρα γε καὶ cὲ καὶ τρίτην ξυνάορον.
Ιπ. ᾤμωξα τοίνυν καὶ πατρὸc δυcπραξίαc.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/276 UNIVERSITÄT LEIPZIG

Αρ. ἐξηπατήθη δαίμονος βουλεύμασιν.
Ιπ. ὦ δυστάλας cὺ τῆcδε cυμφορᾶς, πάτερ.
Θη. ὄλωλα, τέκνον, οὐδέ μοι χάρις βίου.
Ιπ. cτένω cε μᾶλλον ἢ 'μὲ τῆς ἁμαρτίας.
Θη. εἰ γὰρ γενοίμην, τέκνον, ἀντὶ cοῦ νεκρός.
Ιπ. ὦ δῶρα πατρὸς cοῦ Ποcειδῶνος πικρά.
Θη. ὡς μήποτ' ἐλθεῖν ὤφελ' ἐς τοὐμὸν cτόμα.
Ιπ. τί δ'; ἔκτανές τἄν μ', ὡς τότ' ἦcθ' ὠργιcμένος.
Θη. δόξης γὰρ ἦμεν πρὸς θεῶν ἐcφαλμένοι.
Ιπ. φεῦ·
εἴθ' ἦν ἀραῖον δαίμοcιν βροτῶν γένος.
Αρ. ἔαcον· οὐ γὰρ οὐδὲ γῆς ὑπὸ ζόφον
θεᾶς ἄτιμοι Κύπριδος ἐκ προθυμίας
ὀργαὶ καταcκήψουcιν ἐς τὸ cὸν δέμας,
cῆς εὐcεβείας κἀγαθῆς φρενὸς χάριν·
ἐγὼ γὰρ αὐτῆς ἄλλον ἐξ ἐμῆς χερὸς
ὃς ἂν μάλιcτα φίλτατος κυρῇ βροτῶν
τόξοις ἀφύκτοις τοῖcδε τιμωρήcομαι.
cοὶ δ', ὦ ταλαίπωρ', ἀντὶ τῶνδε τῶν κακῶν
τιμὰς μεγίcτας ἐν πόλει Τροζηνίαι
δώcω· κόραι γὰρ ἄζυγες γάμων πάρος
κόμας κεροῦνταί cοι, δι' αἰῶνος μακροῦ
πένθη μέγιcτα δακρύων καρπουμένωι·
ἀεὶ δὲ μουcοποιὸς ἐς cὲ παρθένων
ἔcται μέριμνα, κοὐκ ἀνώνυμος πεcὼν
ἔρως ὁ Φαίδρας ἐς cὲ cιγηθήcεται.
cὺ δ', ὦ γεραιοῦ τέκνον Αἰγέως, λαβὲ

cὸν παῖδ᾽ ἐν ἀγκάλαιcι καὶ προcέλκυcαι·
ἄκων γὰρ ὤλεcάc νιν, ἀνθρώποιcι δὲ
θεῶν διδόντων εἰκὸc ἐξαμαρτάνειν.
καὶ coὶ παραινῶ πατέρα μὴ cτυγεῖν cέθεν,
Ἱππόλυτ᾽· ἔχειc γὰρ μοῖραν ἧι διεφθάρηc.
καὶ χαῖρ᾽· ἐμοὶ γὰρ οὐ θέμιc φθιτοὺc ὁρᾶν
οὐδ᾽ ὄμμα χραίνειν θαναcίμοιcιν ἐκπνοαῖc·
ὁρῶ δέ c᾽ ἤδη τοῦδε πληcίον κακοῦ.

*Ιπ.* χαίρουcα καὶ cὺ cτεῖχε, παρθέν᾽ ὀλβία·
μακρὰν δὲ λείπειc ῥαιδίωc ὁμιλίαν.
λύω δὲ νεῖκοc πατρὶ χρηιζούcηc cέθεν·
καὶ γὰρ πάροιθε coῖc ἐπειθόμην λόγοιc.
αἰαῖ, κατ᾽ ὄccων κιγχάνει μ᾽ ἤδη cκότοc·
λαβοῦ πάτερ μου καὶ κατόρθωcον δέμαc.

*Θη.* οἴμοι, τέκνον, τί δρᾶιc με τὸν δυcδαίμονα;

*Ιπ.* ὄλωλα καὶ δὴ νερτέρων ὁρῶ πύλαc.

*Θη.* ἦ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν χέρα;

*Ιπ.* οὐ δῆτ᾽, ἐπεί cε τοῦδ᾽ ἐλευθερῶ φόνου.

*Θη.* τί φήιc; ἀφίηc αἵματόc μ᾽ ἐλεύθερον;

*Ιπ.* τὴν τοξόδαμνον Ἄρτεμιν μαρτύρομαι.

*Θη.* ὦ φίλταθ᾽, ὡc γενναῖοc ἐκφαίνηι πατρί.

*Ιπ.* ὦ χαῖρε καὶ cύ, χαῖρε πολλά μοι, πάτερ.

*Θη.* οἴμοι φρενὸc cῆc εὐcεβοῦc τε κἀγαθῆc.

*Ιπ.* τοιῶνδε παίδων γνηcίων εὔχου τυχεῖν.

Θη. μή νυν προδῷις με, τέκνον, ἀλλὰ καρτέρει.
Ιπ. κεκαρτέρηται τἄμ᾽· ὄλωλα γάρ, πάτερ.
κρύψον δέ μου πρόϲωπον ὡϲ τάχοϲ πέπλοιϲ.
Θη. ὦ κλείν᾽ Ἀφαίαϲ Παλλάδοϲ θ᾽ ὁρίϲματα,
οἵου ϲτερήϲεϲθ᾽ ἀνδρόϲ. ὦ τλήμων ἐγώ,
ὡϲ πολλά, Κύπρι, ϲῶν κακῶν μεμνήϲομαι.

Χο. κοινὸν τόδ᾽ ἄχοϲ πᾶϲι πολίταιϲ
ἦλθεν ἀέλπτωϲ.
πολλῶν δακρύων ἔϲται πίτυλοϲ·
τῶν γὰρ μεγάλων ἀξιοπενθεῖϲ
φῆμαι μᾶλλον κατέχουϲιν.

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/280
UNIVERSITÄT LEIPZIG

# ΑΝΔΡΟΜΑΧΗ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/282 UNIVERSITÄT LEIPZIG

# ΑΝΔΡΟΜΑΧΗ

## ΥΠΟΘΕCΙC ΑΝΔΡΟΜΑΧΗC

Νεοπτόλεμος ἐν τῆι Τροίαι γέρας λαβὼν Ἀνδρομάχην, τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς. ὕςτερον δὲ ἐπέγημεν Ἑρμιόνην, τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρῶτον ἠιτηκὼς τῆς Ἀχιλλέως ἀναιρέςεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηςτήριον μετανοήςας, ἵνα τὸν θεὸν ἐξιλάςηται. ζηλοτύπως δὲ ἔχουςα πρὸς τὴν Ἀνδρομάχην ἡ βαςιλὶς ἐβουλεύετο κατ' αὐτῆς θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον. ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον καὶ τὸ παιδίον ἀνεῦρον καὶ ἐκείνην ἀπατήςαντες †ἤγειραν†· καὶ ςφάττειν μέλλοντες ἀμφοτέρους ἐκωλύθηςαν Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Cπάρτην, Ἑρμιόνη δὲ μετενόηςεν εὐλαβηθεῖςα τὴν παρουςίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ Ὀρέςτης ταύτην μὲν ἀπήγαγε πείςας, Νεοπτολέμωι δὲ ἐπεβούλευςεν· †ὃν καὶ φονευθέντα παρῆςαν οἱ φέροντες†. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν Θέτις ἐπιφανεῖςα τοῦτον μὲν ἐπέταξεν ἐν Δελφοῖς θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοςςοὺς ἀποςτεῖλαι μετὰ τοῦ παιδός,

αὐτὸν δὲ ἀθανασίαν προσδέχεσθαι. [τυχὼν δὲ αὐτῆς εἰς μακάρων νήσους ᾤκησεν.]

## ⟨ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ⟩

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φθίαι, ὁ δὲ χορὸς συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν. προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα τῶν δευτέρων. ⟨ὁ⟩ πρόλογος σαφῶς καὶ εὐλόγως εἰρημένος. †ἔστι† δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῶι θρήνωι τῆς Ἀνδρομάχης. ἐν τῶι δευτέρωι μέρει ῥῆσις Ἑρμιόνης τὸ βασιλικὸν ὑποφαίνουσα καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος οὐ κακῶς ἔχων· εὖ δὲ καὶ ὁ Πηλεὺς ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

τὰ τοῦ δράματος πρόσωπα· Ἀνδρομάχη, θεράπαινα, χορός, Ἑρμιόνη, Μενέλαος, Μολοττός, Πηλεύς, τροφός, Ὀρέστης, ἄγγελος, Θέτις.

# ΑΝΔΡΟΜΑΧΗ

*ΑΝΔΡΟΜΑΧΗ*

*Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις,*
*ὅθεν ποθ' ἕδνων σὺν πολυχρύσωι χλιδῆι*
*Πριάμου τύραννον ἑστίαν ἀφικόμην*
*δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,*
*ζηλωτὸς ἔν γε τῶι πρὶν Ἀνδρομάχη χρόνωι,*
*νῦν δ', εἴ τις ἄλλη, δυστυχεστάτη γυνή*
*[ἐμοῦ πέφυκεν ἢ γενήσεταί ποτε]·*
*ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως*
*θανόντ' ἐσεῖδον, παῖδά θ' ὃν τίκτω πόσει*
*ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,*
*ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον·*
*αὐτὴ δὲ δούλη τῶν ἐλευθερωτάτων*
*οἴκων νομισθεῖσ' Ἑλλάδ' εἰσαφικόμην*
*τῶι νησιώτηι Νεοπτολέμωι δορὸς γέρας*
*δοθεῖσα λείας Τρωϊκῆς ἐξαίρετον.*
*Φθίας δὲ τῆσδε καὶ πόλεως Φαρσαλίας*
*σύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία*
*Πηλεῖ ξυνώικει χωρὶς ἀνθρώπων Θέτις*
*φεύγους' ὅμιλον· Θεσσαλὸς δέ νιν λεὼς*
*Θετίδειον αὐδᾶι θεᾶς χάριν νυμφευμάτων.*
*ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,*

Πηλέα δ' ἀνάccειν γῆc ἐᾶι Φαρcαλίαc,
ζῶντοc γέροντοc cκῆπτρον οὐ θέλων λαβεῖν.
κἀγὼ δόμοιc τοῖcδ' ἄρcεν' ἐντίκτω κόρον,
πλαθεῖc' Ἀχιλλέωc παιδί, δεcπότηι δ' ἐμῶι.
καὶ πρὶν μὲν ἐν κακοῖcι κειμένην ὅμωc
ἐλπίc μ' ἀεὶ προῆγε cωθέντοc τέκνου
ἀλκήν τιν' εὑρεῖν κἀπικούρηcιν κακῶν·
ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ
τοὐμὸν παρώcαc δεcπότηc δοῦλον λέχοc,
κακοῖc πρὸc αὐτῆc cχετλίοιc ἐλαύνομαι.
λέγει γὰρ ὥc νιν φαρμάκοιc κεκρυμμένοιc
τίθημ' ἄπαιδα καὶ πόcει μιcουμένην,
αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆc θέλω
τόνδ', ἐκβαλοῦcα λέκτρα τἀκείνηc βίαι·
ἁγὼ τὸ πρῶτον οὐχ ἑκοῦc' ἐδεξάμην,
νῦν δ' ἐκλέλοιπα· Ζεὺc τάδ' εἰδείη μέγαc,
ὡc οὐχ ἑκοῦcα τῶιδ' ἐκοινώθην λέχει.
ἀλλ' οὔ cφε πείθω, βούλεται δέ με κτανεῖν,
πατήρ τε θυγατρὶ Μενέλεωc cυνδρᾶι τάδε.
καὶ νῦν κατ' οἴκουc ἔcτ', ἀπὸ Cπάρτηc μολὼν
ἐπ' αὐτὸ τοῦτο· δειματουμένη δ' ἐγὼ
δόμων πάροικον Θέτιδοc εἰc ἀνάκτορον
θάccω τόδ' ἐλθοῦc', ἤν με κωλύcηι θανεῖν.
Πηλεύc τε γάρ νιν ἔκγονοί τε Πηλέωc
cέβουcιν, ἑρμήνευμα Νηρῆιδοc γάμων.

*ὃc δ' ἔcτι παῖc μοι μόνοc, ὑπεκπέμπω λάθραι*
*ἄλλουc ἐc οἴκουc, μὴ θάνηι φοβουμένη.*
*ὁ γὰρ φυτεύcαc αὐτὸν οὔτ' ἐμοὶ πάρα*
*προcωφελῆcαι παιδί τ' οὐδέν ἐcτ', ἀπὼν*
*Δελφῶν κατ' αἶαν, ἔνθα Λοξίαι δίκην*
*δίδωcι μανίαc, ἧι ποτ' ἐc Πυθὼ μολὼν*
*ἤιτηcε Φοῖβον πατρὸc οὗ κτείνει δίκην,*
*εἴ πωc τὰ πρόcθε cφάλματ' ἐξαιτούμενοc*
*θεὸν παράcχοιτ' ἐc τὸ λοιπὸν εὐμενῆ.*

*ΘΕΡΑΠΑΙΝΑ*
*δέcποιν', ἐγώ τοι τοὔνομ' οὐ φεύγω τόδε*
*καλεῖν c', ἐπείπερ καὶ κατ' οἶκον ἠξίουν*
*τὸν cόν, τὸ Τροίαc ἡνίκ' ὠικοῦμεν πέδον,*
*εὔνουc δ' ἐκεῖ cοι ζῶντί τ' ἦ τῶι cῶι πόcει·*
*καὶ νῦν φέρουcά cοι νέουc ἥκω λόγουc,*
*φόβωι μέν, εἴ τιc δεcποτῶν αἰcθήcεται,*
*οἴκτωι δὲ τῶι cῶι· δεινὰ γὰρ βουλεύεται*
*Μενέλαοc ἐc cὲ παῖc θ', ἅ cοι φυλακτέα.*
*Αν.* *ὦ φιλτάτη cύνδουλε (cύνδουλοc γὰρ εἶ*
*τῆι πρόcθ' ἀνάccηι τῆιδε, νῦν δὲ δυcτυχεῖ),*
*τί δρῶcι; ποίαc μηχανὰc πλέκουcιν αὖ,*
*κτεῖναι θέλοντεc τὴν παναθλίαν ἐμέ;*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/287 UNIVERSITÄT LEIPZIG

Θε. τὸν παῖδά ϲου μέλλουϲιν, ὦ δύϲτηνε ϲύ,
κτείνειν, ὃν ἔξω δωμάτων ὑπεξέθου· 69
φροῦδοϲ δ' ἐπ' αὐτὸν Μενέλεωϲ δόμων ἄπο. 73
Αν. οἴμοι· πέπυϲται τὸν ἐμὸν ἔκθετον γόνον; 70
πόθεν ποτ'; ὦ δύϲτηνοϲ, ὡϲ ἀπωλόμην.
Θε. οὐκ οἶδ', ἐκείνων δ' ᾐϲθόμην ἐγὼ τάδε. 72
Αν. ἀπωλόμην ἄρ'. ὦ τέκνον, κτενοῦϲί ϲε 74
διϲϲοὶ λαβόντεϲ γῦπεϲ, ὁ δὲ κεκλημένοϲ
πατὴρ ἔτ' ἐν Δελφοῖϲι τυγχάνει μένων.
Θε. δοκῶ γὰρ οὐκ ἂν ὧδέ ϲ' ἂν πράϲϲειν κακῶϲ
κείνου παρόντοϲ· νῦν δ' ἔρημοϲ εἶ φίλων.
Αν. οὐδ' ἀμφὶ Πηλέωϲ ἦλθεν ὡϲ ἥξοι φάτιϲ;
Θε. γέρων ἐκεῖνοϲ ὥϲτε ϲ' ὠφελεῖν παρών.
Αν. καὶ μὴν ἔπεμψ' ἐπ' αὐτὸν οὐχ ἅπαξ μόνον.
Θε. μῶν οὖν δοκεῖϲ ϲου φροντίϲαι τιν' ἀγγέλων;
Αν. πόθεν; θέλειϲ οὖν ἄγγελοϲ ϲύ μοι μολεῖν;
Θε. τί δῆτα φήϲω χρόνιοϲ οὖϲ' ἐκ δωμάτων;
Αν. πολλὰϲ ἂν εὕροιϲ μηχανάϲ· γυνὴ γὰρ εἶ.
Θε. κίνδυνοϲ· Ἑρμιόνη γὰρ οὐ ϲμικρὸν φύλαξ.
Αν. ὁρᾷϲ; ἀπαυδᾷϲ ἐν κακοῖϲ φίλοιϲι ϲοῖϲ.
Θε. οὐ δῆτα· μηδὲν τοῦτ' ὀνειδίϲῃϲ ἐμοί.
ἀλλ' εἶμ', ἐπεί τοι κοὐ περίβλεπτοϲ βίοϲ
δούληϲ γυναικόϲ, ἤν τι καὶ πάθω κακόν.
Αν. χώρει νυν· ἡμεῖϲ δ' οἷϲπερ ἐγκείμεϲθ' ἀεὶ

θρήνοισι καὶ γόοισι καὶ δακρύμασιν
πρὸς αἰθέρ' ἐκτενοῦμεν· ἐμπέφυκε γὰρ
γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' αἰεὶ καὶ διὰ γλώσσης ἔχειν.
πάρεστι δ' οὐχ ἓν ἀλλὰ πολλά μοι στένειν,
πόλιν πατρῴαν τὸν θανόντα θ' Ἕκτορα
στερρόν τε τὸν ἐμὸν δαίμον' ᾧι συνεζύγην
δούλειον ἦμαρ ἐσπεσοῦσ' ἀναξίως.
χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδηις
ὅπως περάσας ἡμέραν ἥξει κάτω.

Ἰλίωι αἰπειναῖ Πάρις οὐ γάμον ἀλλά τιν' ἄταν
  ἀγάγετ' εὐναίαν ἐς θαλάμους Ἑλέναν.
ἇς ἕνεκ', ὦ Τροία, δορὶ καὶ πυρὶ δηϊάλωτον
  εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης
καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
  εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος·
αὐτὰ δ' ἐκ θαλάμων ἀγόμαν ἐπὶ θῖνα θαλάσσας,
  δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάραι.
πολλὰ δὲ δάκρυά μοι κατέβα χροός, ἁνίκ' ἔλειπον
  ἄστυ τε καὶ θαλάμους καὶ πόσιν ἐν κονίαις.
ὤμοι ἐγὼ μελέα, τί μ' ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι
  Ἑρμιόνας δούλαν; ἇς ὕπο τειρομένα

πρὸc τόδ᾽ ἄγαλμα θεᾶc ἱκέτιc περὶ χεῖρε βαλοῦcα
τάκομαι ὡc πετρίνα πιδακόεccα λιβάc.

ΧΟΡΟC

ὦ γύναι, ἃ Θέτιδοc δάπεδον καὶ ἀνάκτορα [cτρ. α
θάccειc
δαρὸν οὐδὲ λείπειc,
Φθιὰc ὅμωc ἔμολον ποτὶ cὰν Ἀcιήτιδα γένναν,
εἴ τί coι δυναίμαν
ἄκοc τῶν δυcλύτων πόνων τεμεῖν,
οἵ cε καὶ Ἑρμιόναν ἔριδι cτυγερᾶι cυνέκληιcαν,
τλᾶμον, ἀμφὶ λέκτρων
διδύμων, ἐπίκοινον ἔχουcαν
ἄνδρα, παῖδ᾽ Ἀχιλλέωc.

γνῶθι τύχαν, λόγιcαι τὸ παρὸν κακὸν εἰc ὅπερ [ἀντ. α
ἥκειc.
δεcπόταιc ἁμιλλᾶι
Ἰλιὰc οὖcα κόρα Λακεδαίμονοc ἐγγενέταιcιν;
λεῖπε δεξίμηλον
δόμον τᾶc ποντίαc θεοῦ. τί coι
καιρὸc ἀτυζομέναι δέμαc αἰκέλιον καταλείβειν
δεcποτᾶν ἀνάγκαιc;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/290 UNIVERSITÄT LEIPZIG

τὸ κρατοῦν δέ ϲ’ ἔπειϲι· τί μόχθον
οὐδὲν οὖϲα μοχθεῖϲ;

ἀλλ’ ἴθι λεῖπε θεᾶϲ Νηρηΐδοϲ ἀγλαὸν ἕδραν, [ϲτρ. β
γνῶθι δ’ οὖϲ’ ἐπὶ ξέναϲ
δμωὶϲ ἀπ’ ἀλλοτρίαϲ
πόλεοϲ, ἔνθ’ οὐ φίλων τιν’ εἰϲορᾶιϲ
ϲῶν, ὦ δυϲτυχεϲτάτα,
⟨ὦ⟩ παντάλαινα νύμφα.

οἰκτροτάτα γὰρ ἔμοιγ’ ἔμολεϲ, γύναι Ἰλιάϲ, [ἀντ. β
οἴκουϲ
δεϲποτᾶν ἐμῶν· φόβωι δ’
ἡϲυχίαν ἄγομεν
(τὸ δὲ ϲὸν οἴκτωι φέρουϲα τυγχάνω)
μὴ παῖϲ τᾶϲ Διὸϲ κόραϲ
ϲοί μ’ εὖ φρονοῦϲαν εἰδῆι.

*ΕΡΜΙΟΝΗ*

κόϲμον μὲν ἀμφὶ κρατὶ χρυϲέαϲ χλιδῆϲ
ϲτολμόν τε χρωτὸϲ τόνδε ποικίλων πέπλων
οὐ τῶν Ἀχιλλέωϲ οὐδὲ Πηλέωϲ ἄπο
δόμων ἀπαρχὰϲ δεῦρ’ ἔχουϲ’ ἀφικόμην,
ἀλλ’ ἐκ Λακαίνηϲ Ϲπαρτιάτιδοϲ χθονὸϲ

*Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ*
*πολλοῖς cὺν ἕδνοις, ὥcτ' ἐλευθεροcτομεῖν.*
*[ὑμᾶς μὲν οὖν τοῖcδ' ἀνταμείβομαι λόγοις.]*
*cὺ δ' οὖcα δούλη καὶ δορίκτητος γυνὴ*
*δόμους καταcχεῖν ἐκβαλοῦc' ἡμᾶc θέλεις*
*τούcδε, cτυγοῦμαι δ' ἀνδρὶ φαρμάκοιcι coῖc,*
*νηδὺς δ' ἀκύμων διὰ cέ μοι διόλλυται·*
*δεινὴ γὰρ ἠπειρῶτις ἐc τὰ τοιάδε*
*ψυχὴ γυναικῶν· ὧν ἐπιcχήcω c' ἐγώ,*
*κοὐδέν c' ὀνήcει δῶμα Νηρῆιδος τόδε,*
*οὐ βωμὸc οὐδὲ ναός, ἀλλὰ κατθανῆι.*
*ἢν δ' οὖν βροτῶν τίς c' ἢ θεῶν cῶcαι θέλῃ,*
*δεῖ c' ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων*
*πτῆξαι ταπεινὴν προcπεcεῖν τ' ἐμὸν γόνυ*
*cαίρειν τε δῶμα τοὐμὸν ἐκ χρυcηλάτων*
*τευχέων χερὶ cπείρουcαν Ἀχελῴου δρόcον*
*γνῶναί θ' ἵν' εἶ γῆc. οὐ γάρ ἐcθ' Ἕκτωρ τάδε,*
*οὐ Πρίαμοc οὐδὲ χρυcόc, ἀλλ' Ἑλλὰc πόλιc.*
*ἐc τοῦτο δ' ἥκειc ἀμαθίαc, δύcτηνε cύ,*
*ἣ παιδὶ πατρὸc ὃc cὸν ὤλεcεν πόcιν*
*τολμᾶιc ξυνεύδειν καὶ τέκν' αὐθεντῶν πάρα*
*τίκτειν. τοιοῦτον πᾶν τὸ βάρβαρον γένοc·*
*πατήρ τε θυγατρὶ παῖc τε μητρὶ μείγνυται*
*κόρη τ' ἀδελφῶι, διὰ φόνου δ' οἱ φίλτατοι*
*χωροῦcι, καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμοc.*
*ἃ μὴ παρ' ἡμᾶc ἔcφερ'· οὐδὲ γὰρ καλὸν*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/292 UNIVERSITÄT LEIPZIG

δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν,
ἀλλ' ἐς μίαν βλέποντες εὐναίαν Κύπριν
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέληι.

*Χο.* ἐπίφθονόν τι χρῆμα θηλείας φρενὸς
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

*Αν.* φεῦ φεῦ·
κακόν γε θνητοῖς τὸ νέον ἔν τε τῶι νέωι
τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
ἐγὼ δὲ ταρβῶ μὴ τὸ δουλεύειν μέ σοι
λόγων ἀπώσηι πόλλ' ἔχουσαν ἔνδικα,
ἢν δ' αὖ κρατήσω, μὴ 'πὶ τῶιδ' ὄφλω βλάβην·
οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο·
ὅμως δ' ἐμαυτὴν οὐ προδοῦσ' ἁλώσομαι.
εἴπ', ὦ νεᾶνι, τῶι σ' ἐχεγγύωι λόγωι
πεισθεῖσ' ἀπωθῶ γνησίων νυμφευμάτων;
ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις
†τύχηι θ' ὑπερθεῖ† κἄμ' ἐλευθέραν ὁρᾶις;
ἢ τῶι νέωι τε καὶ σφριγῶντι σώματι
πόλεώς τε μεγέθει καὶ φίλοις ἐπηρμένη
οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω;
πότερον ἵν' αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
δούλους ἐμαυτῆι τ' ἀθλίαν ἐφολκίδα;

ἤ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν cὺ μὴ τέκηις;
φιλοῦcι γάρ μ' Ἕλληνες Ἕκτορός γ' ὕπερ;
αὐτή τ' ἀμαυρὰ κοὐ τύραννος ἡ Φρυγῶν;
οὐκ ἐξ ἐμῶν cε φαρμάκων cτυγεῖ πόcιc
ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖc.
φίλτρον δὲ καὶ τόδ'· οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' ἀρεταὶ τέρπουcι τοὺc ξυνευνέταc.
cὺ δ' ἤν τι κνιcθῆιc, ἡ Λάκαινα μὲν πόλιc
μέγ' ἐcτί, τὴν δὲ Cκῦρον οὐδαμοῦ τίθηc,
πλουτεῖc δ' ἐν οὐ πλουτοῦcι, Μενέλεωc δέ cοι
μείζων Ἀχιλλέωc. ταῦτά τοί c' ἔχθει πόcιc.
χρὴ γὰρ γυναῖκα, κἂν κακῶι πόcει δοθῆι,
cτέργειν ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματοc.
εἰ δ' ἀμφὶ Θρήικην τὴν χιόνι κατάρρυτον
τύραννον ἔcχεc ἄνδρ', ἵν' ἐν μέρει λέχοc
δίδωcι πολλαῖc εἷc ἀνὴρ κοινούμενοc,
ἔκτεινας ἂν τάcδ'; εἶτ' ἀπληcτίαν λέχουc
πάcαιc γυναιξὶ προcτιθεῖc' ἂν ηὑρέθηc.
αἰcχρόν γε· καίτοι χείρον' ἀρcένων νόcον
ταύτην νοcοῦμεν, ἀλλὰ προύcτημεν καλῶc.
ὦ φίλταθ' Ἕκτορ, ἀλλ' ἐγὼ τὴν cὴν χάριν
cοὶ καὶ ξυνήρων, εἴ τί cε cφάλλοι Κύπριc,
καὶ μαcτὸν ἤδη πολλάκιc νόθοιcι cοῖc
ἐπέcχον, ἵνα cοι μηδὲν ἐνδοίην πικρόν.
καὶ ταῦτα δρῶcα τῆι ἀρετῆι προcηγόμην

πόϲιν· ϲὺ δ᾽ οὐδὲ ῥανίδ᾽ ὑπαιθρίαϲ δρόϲου
τῶι ϲῶι προϲίζειν ἀνδρὶ δειμαίνουϲ᾽ ἐᾶιϲ.
μὴ τὴν τεκοῦϲαν τῆι φιλανδρίαι, γύναι,
ζήτει παρελθεῖν· τῶν κακῶν γὰρ μητέρων
φεύγειν τρόπουϲ χρὴ τέκν᾽ ὅϲοιϲ ἔνεϲτι νοῦϲ.
Χο. δέϲποιν᾽, ὅϲον ϲοι ῥαιδίωϲ †προϲίϲταται†,
τοϲόνδε πείθου τῆιδε ϲυμβῆναι λόγοιϲ.
Ερ. τί ϲεμνομυθεῖϲ κἀϲ ἀγῶν᾽ ἔρχηι λόγων,
ὡϲ δὴ ϲὺ ϲώφρων, τἀμὰ δ᾽ οὐχὶ ϲώφρονα;
Αν. οὔκουν ἐφ᾽ οἷϲ γε νῦν καθέϲτηκαϲ λόγοιϲ.
Ερ. ὁ νοῦϲ ὁ ϲόϲ μοι μὴ ξυνοικοίη, γύναι.
Αν. νέα πέφυκαϲ καὶ λέγειϲ αἰϲχρῶν πέρι.
Ερ. ϲὺ δ᾽ οὐ λέγειϲ γε, δρᾶιϲ δέ μ᾽ εἰϲ ὅϲον δύναι.
Αν. οὐκ αὖ ϲιωπῆι Κύπριδοϲ ἀλγήϲειϲ πέρι;
Ερ. τί δ᾽; οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχοῦ;
Αν. ναί,
καλῶϲ γε χρωμέναιϲιν· εἰ δὲ μή, οὐ καλά.
Ερ. οὐ βαρβάρων νόμοιϲιν οἰκοῦμεν πόλιν.
Αν. κἀκεῖ τά γ᾽ αἰϲχρὰ κἀνθάδ᾽ αἰϲχύνην ἔχει.
Ερ. ϲοφὴ ϲοφὴ ϲύ· κατθανεῖν δ᾽ ὅμωϲ ϲε δεῖ.
Αν. ὁρᾶιϲ ἄγαλμα Θέτιδοϲ ἐϲ ϲ᾽ ἀποβλέπον;
Ερ. μιϲοῦν γε πατρίδα ϲὴν Ἀχιλλέωϲ φόνωι.
Αν. Ἑλένη νιν ὤλεϲ᾽, οὐκ ἐγώ, μήτηρ γε ϲή.

*Ερ.* ἦ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν;
*Αν.* ἰδοὺ σιωπῶ κἀπιλάζυμαι στόμα.
*Ερ.* ἐκεῖνο λέξον οὗπερ οὕνεκ' ἐστάλην.
*Αν.* λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν ὅσον σ' ἔδει.
*Ερ.* λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;
*Αν.* εἰ μὴ θανοῦμαί γ'· εἰ δὲ μή, οὐ λείψω ποτέ.
*Ερ.* ὡς τοῦτ' ἄραρε κοὐ μενῶ πόσιν μολεῖν.
*Αν.* ἀλλ' οὐδ' ἐγὼ μὴν πρόσθεν ἐκδώσω μέ σοι.
*Ερ.* πῦρ σοι προσοίσω, κοὐ τὸ σὸν προσκέψομαι,...
*Αν.* σὺ δ' οὖν κάταιθε· θεοὶ γὰρ εἴσονται τάδε.
*Ερ.* καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.
*Αν.* σφάζ', αἱμάτου θεᾶς βωμόν, ἣ μέτεισί σε.
*Ερ.* ὦ βάρβαρον σὺ θρέμμα καὶ σκληρὸν θράσος,
ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω τάχα·
τοιόνδ' ἔχω σου δέλεαρ. ἀλλὰ γὰρ λόγους
κρύψω, τὸ δ' ἔργον αὐτὸ σημανεῖ τάχα.
κάθησ' ἑδραία· καὶ γὰρ εἰ πέριξ σ' ἔχοι
τηκτὸς μόλυβδος, ἐξαναστήσω σ' ἐγὼ
πρὶν ὧι πέποιθας παῖδ' Ἀχιλλέως μολεῖν.
*Αν.* πέποιθα. δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα,
ὃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω
οὐδεὶς γυναικὸς φάρμακ' ἐξηύρηκέ πω
[κακῆς· τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν].

Χο. ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν, ὅτ' Ἰδαίαν [ϲτρ. α
ἐϲ νάπαν ἦλθ', ὁ Μαί-
αϲ τε καὶ Διὸϲ τόκοϲ,
τρίπωλον ἅρμα δαιμόνων
ἄγων τὸ καλλιζυγέϲ,
ἔριδι ϲτυγερᾶι κεκορυθμένον εὐμορφίαϲ,
ϲταθμοὺϲ ἔπι βούταϲ
βοτῆρά τ' ἀμφὶ μονότροπον νεανίαν
ἔρημόν θ' ἑϲτιοῦχον αὐλάν.

ταὶ δ' ἐπεὶ ὑλόκομον νάποϲ ἤλυθον οὐρειᾶν [ἀντ. α
πιδάκων νίψαν αἰ-
γλᾶντα ϲώματα ῥοαῖϲ,
ἔβαν δὲ Πριαμίδαν ὑπερ-
βολαῖϲ λόγων δυϲφρόνων
παραβαλλόμεναι, δολίοιϲ δ' εἷλε Κύπριϲ λόγοιϲ,
τερπνοῖϲ μὲν ἀκοῦϲαι,
πικρὰν δὲ ϲύγχυϲιν βίου Φρυγῶν πόλει
ταλαίναι περγάμοιϲ τε Τροίαϲ.

εἰ γὰρ ὑπὲρ κεφαλὰν ἔβαλεν κακὸν [ϲτρ. β
ἁ τεκοῦϲά νιν μόρον

πρὶν Ἰδαῖον κατοικίϲαι λέπαϲ,
ὅτε νιν παρὰ θεϲπεϲίωι δάφναι
βόαϲε Καϲϲάνδρα κτανεῖν,
μεγάλαν Πριάμου πόλεωϲ λώβαν.
τίν’ οὐκ ἐπῆλθε, ποῖον οὐκ ἐλίϲϲετο
δαμογερόντων βρέφοϲ φονεύειν;

οὔτ’ ἂν ἐπ’ Ἰλιάϲι ζυγὸν ἤλυθε [ἀντ. β
δούλιον ϲύ τ’ ἄν, γύναι,
τυράννων ἔϲχεϲ ἂν δόμων ἕδραϲ·
παρέλυϲε δ’ ἂν Ἑλλάδοϲ ἀλγεινοὺϲ
†μόχθουϲ οὓϲ ἀμφὶ Τροίαν†
δεκέτειϲ ἀλάληντο νέοι λόγχαιϲ,
λέχη τ’ ἔρημ’ ἂν οὔποτ’ ἐξελείπετο
καὶ τεκέων ὀρφανοὶ γέροντεϲ.

ΜΕΝΕΛΑΟϹ

ἥκω λαβὼν ϲὸν παῖδ’, ὃν εἰϲ ἄλλουϲ δόμουϲ
λάθραι θυγατρὸϲ τῆϲ ἐμῆϲ ὑπεξέθου.
ϲὲ μὲν γὰρ ηὔχειϲ θεᾶϲ βρέταϲ ϲώϲειν τόδε,
τοῦτον δὲ τοὺϲ κρύψανταϲ· ἀλλ’ ἐφηυρέθηϲ
ἧϲϲον φρονοῦϲα τοῦδε Μενέλεω, γύναι.
κεἰ μὴ τόδ’ ἐκλιποῦϲ’ ἐρημώϲειϲ πέδον,
ὅδ’ ἀντὶ τοῦ ϲοῦ ϲώματοϲ ϲφαγήϲεται.

ταῦτ' οὖν λογίζου, πότερα κατθανεῖν θέλεις
ἢ τόνδ' ὀλέσθαι σῆς ἁμαρτίας ὕπερ,
ἣν εἰς ἔμ' ἔς τε παῖδ' ἐμὴν ἁμαρτάνεις.
*Αν.* ὦ δόξα δόξα, μυρίοισι δὴ βροτῶν
οὐδὲν γεγῶσι βίοτον ὤγκωσας μέγαν.
[εὔκλεια δ' οἷς μέν ἐστ' ἀληθείας ὕπο
εὐδαιμονίζω· τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
οὐκ ἀξιώσω, πλὴν τύχηι φρονεῖν δοκεῖν.]
cὺ δὴ στρατηγῶν λογάσιν Ἑλλήνων ποτὲ
Τροίαν ἀφείλου Πρίαμον, ὧδε φαῦλος ὤν;
ὅστις θυγατρὸς ἀντίπαιδος ἐκ λόγων
τοσόνδ' ἔπνευσας καὶ γυναικὶ δυστυχεῖ
δούληι κατέστης εἰς ἀγῶν'· οὐκ ἀξιῶ
οὔτ' οὖν σὲ Τροίας οὔτε σοῦ Τροίαν ἔτι.
[ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὖ φρονεῖν
λαμπροί, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι,
πλὴν εἴ τι πλούτωι· τοῦτο δ' ἰσχύει μέγα.
Μενέλαε, φέρε δὴ διαπεράνωμεν λόγους.]
⟨ ⟩
τέθνηκα τῆι σῆι θυγατρὶ καί μ' ἀπώλεσεν·
μιαιφόνον μὲν οὐκέτ' ἂν φύγοι μύσος.
ἐν τοῖς δὲ πολλοῖς καὶ σὺ τόνδ' ἀγωνιῆι
φόνον· τὸ συνδρῶν γάρ σ' ἀναγκάσει χρέος.

ἢν δ' οὖν ἐγὼ μὲν μὴ θανεῖν ὑπεκδράμω,
τὸν παῖδά μου κτενεῖτε; κᾆιτα πῶς πατὴρ
τέκνου θανόντος ῥαιδίως ἀνέξεται;
οὐχ ὧδ' ἄνανδρον αὐτὸν ἡ Τροία καλεῖ·
ἀλλ' εἶςιν οἷ χρή, Πηλέως γὰρ ἄξια
πατρός τ' Ἀχιλλέως ἔργα δρῶν φανήςεται,
ὤςει δὲ ςὴν παῖδ' ἐκ δόμων· ςὺ δ' ἐκδιδοὺς
ἄλλωι τί λέξεις; πότερον ὡς κακὸν πόςιν
φεύγει τὸ ταύτης ςῶφρον; ἀλλ' οὐ πείςεται.
γαμεῖ δὲ τίς νιν; ἤ ςφ' ἄνανδρον ἐν δόμοις
χήραν καθέξεις πολιόν; ὦ τλήμων ἀνήρ,
κακῶν τοςούτων οὐχ ὁρᾶις ἐπιρροάς;
πόςας ἂν εὐνὰς θυγατέρ' ἠδικημένην
βούλοι' ἂν εὑρεῖν ἢ παθεῖν ἁγὼ λέγω;
οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορςύνειν κακὰ
οὐδ', εἰ γυναῖκές ἐςμεν ἀτηρὸν κακόν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦςθαι φύςιν.
ἡμεῖς γὰρ εἰ ςὴν παῖδα φαρμακεύομεν
καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡς αὐτὴ λέγει,
ἑκόντες οὐκ ἄκοντες, οὐδὲ βώμιοι
πίτνοντες, αὐτοὶ τὴν δίκην ὑφέξομεν
ἐν ςοῖςι γαμβροῖς, οἷςιν οὐκ ἐλάςςονα
βλάβην ὀφείλω προςτιθεὶς ἀπαιδίαν.
ἡμεῖς μὲν οὖν τοιοίδε· τῆς δὲ ςῆς φρενός,

ἕν σου δέδοικα· διὰ γυναικείαν ἔριν
καὶ τὴν τάλαιναν ὤλεσας Φρυγῶν πόλιν.
Χο. ἄγαν ἔλεξας ὡς γυνὴ πρὸς ἄρσενας
⟨ ⟩
καί σου τὸ σῶφρον ἐξετόξευσεν φρενός.
Με. γύναι, τάδ' ἐστὶ σμικρὰ καὶ μοναρχίας
οὐκ ἄξι', ὡς φῄς, τῆς ἐμῆς οὐδ' Ἑλλάδος.
εὖ δ' ἴσθ', ὅτου τις τυγχάνει χρείαν ἔχων,
τοῦτ' ἔσθ' ἑκάστωι μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ θυγατρί (μεγάλα γὰρ κρίνω τάδε,
λέχους στέρεσθαι) σύμμαχος καθίσταμαι.
τὰ μὲν γὰρ ἄλλα δεύτερ' ἂν πάσχηι γυνή,
ἀνδρὸς δ' ἁμαρτάνουσ' ἁμαρτάνει βίου.
δούλων δ' ἐκεῖνον τῶν ἐμῶν ἄρχειν χρεὼν
καὶ τῶν ἐκείνου τοὺς ἐμοὺς ἡμᾶς τε πρός·
φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα.
μένων δὲ τοὺς ἀπόντας, εἰ μὴ θήσομαι
τἄμ' ὡς ἄριστα, φαῦλός εἰμι κοὐ σοφός.
ἀλλ' ἐξανίστω τῶνδ' ἀνακτόρων θεᾶς·
ὡς, ἢν θάνηις σύ, παῖς ὅδ' ἐκφεύγει μόρον,
σοῦ δ' οὐ θελούσης κατθανεῖν τόνδε κτενῶ.
δυοῖν δ' ἀνάγκη θατέρωι λιπεῖν βίον.

Αν. οἴμοι, πικρὰν κλήρωcιν αἵρεcίν τέ μοι
βίου καθίcτηc· καὶ λαχοῦcά γ' ἀθλία
καὶ μὴ λαχοῦcα δυcτυχὴc καθίcταμαι.
ὦ μεγάλα πράccων αἰτίαc cμικρᾶc πέρι,
πιθοῦ· τί καίνειc μ'; ἀντὶ τοῦ; ποίαν πόλιν
προύδωκα; τίνα cῶν ἔκτανον παίδων ἐγώ;
ποῖον δ' ἔπρηcα δῶμ'; ἐκοιμήθην βίαι
cὺν δεcπόταιcι· κᾆιτ' ἔμ', οὐ κεῖνον κτενεῖc,
τὸν αἴτιον τῶνδ', ἀλλὰ τὴν ἀρχὴν ἀφεὶc
πρὸc τὴν τελευτὴν ὑcτέραν οὖcαν φέρηι;
οἴμοι κακῶν τῶνδ'· ὦ τάλαιν' ἐμὴ πατρίc,
ὡc δεινὰ πάcχω. τί δέ με καὶ τεκεῖν ἐχρῆν
ἄχθοc τ' ἐπ' ἄχθει τῶιδε προcθέcθαι διπλοῦν;
[ἀτὰρ τί ταῦτ' ὀδύρομαι, τὰ δ' ἐν ποcὶν
οὐκ ἐξικμάζω καὶ λογίζομαι κακά;]
ἥτιc cφαγὰc μὲν Ἕκτοροc τροχηλάτουc
κατεῖδον οἰκτρῶc τ' Ἴλιον πυρούμενον,
αὐτὴ δὲ δούλη ναῦc ἔπ' Ἀργείων ἔβην
κόμηc ἐπιcπαcθεῖc'· ἐπεὶ δ' ἀφικόμην
Φθίαν, φονεῦcιν Ἕκτοροc νυμφεύομαι.
τί δῆτά μοι ζῆν ἡδύ; πρὸc τί χρὴ βλέπειν;
πρὸc τὰc παρούcαc ἢ παρελθούcαc τύχαc;
εἷc παῖc ὅδ' ἦν μοι λοιπόc, ὀφθαλμὸc βίου·
τοῦτον κτανεῖν μέλλουcιν οἷc δοκεῖ τάδε.
οὐ δῆτα τοὐμοῦ γ' οὕνεκ' ἀθλίου βίου·
ἐν τῶιδε μὲν γὰρ ἐλπίc, εἰ cωθήcεται,

ἐμοὶ δ' ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου.
ἰδού, προλείπω βωμὸν ἥδε χειρία
σφάζειν φονεύειν δεῖν ἀπαρτῆσαι δέρην.
ὦ τέκνον, ἡ τεκοῦσά σ', ὡς σὺ μὴ θάνηις,
στείχω πρὸς Ἅιδην· ἢν δ' ὑπεκδράμηις μόρον,
μέμνησο μητρός, οἷα τλᾶς' ἀπωλόμην,
καὶ πατρὶ τῶι σῶι διὰ φιλημάτων ἰὼν
δάκρυά τε λείβων καὶ περιπτύσσων χέρας
λέγ' οἷ' ἔπραξα. πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν
ψυχὴ τέκν'· ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει,
ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ.

Χο. ᾤκτιρ' ἀκούσασ'· οἰκτρὰ γὰρ τὰ δυστυχῆ
βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῆι.
ἐς ξύμβασιν δ' ἐχρῆν σε παῖδα σὴν ἄγειν,
Μενέλαε, καὶ τήνδ', ὡς ἀπαλλαχθῆι πόνων.

Με. λάβεσθέ μοι τῆσδ', ἀμφελίξαντες χέρας,
δμῶες· λόγους γὰρ οὐ φίλους ἀκούσεται.
ἔχω σ'· ἵν' ἁγνὸν βωμὸν ἐκλίποις θεᾶς,
προύτεινα παιδὸς θάνατον, ὧι σ' ὑπήγαγον
ἐς χεῖρας ἐλθεῖν τὰς ἐμὰς ἐπὶ σφαγήν.
καὶ τἀμφὶ σοῦ μὲν ὧδ' ἔχοντ' ἐπίστασο·
τὰ δ' ἀμφὶ παιδὸς τοῦδε παῖς ἐμὴ κρινεῖ,
ἤν τε κτανεῖν νιν ἤν τε μὴ κτανεῖν θέληι.
ἀλλ' ἕρπ' ἐς οἴκους τούσδ', ἵν' εἰς ἐλευθέρους
δούλη γεγῶσα μήποθ' ὑβρίζειν μάθηις.

*Αν.* οἴμοι· δόλωι μ' ὑπῆλθες, ἠπατήμεθα.
*Με.* κήρυςς' ἅπαςιν· οὐ γὰρ ἐξαρνούμεθα.
*Αν.* ἦ ταῦτ' ἐν ὑμῖν τοῖς παρ' Εὐρώται cοφά;
*Με.* καὶ τοῖς γε Τροίαι, τοὺς παθόντας ἀντιδρᾶν.
*Αν.* τὰ θεῖα δ' οὐ θεῖ' οὐδ' ἔχειν ἡγῆι δίκην;
*Με.* ὅταν τάδ' ἦι, τότ' οἴςομεν· cὲ δὲ κτενῶ.
*Αν.* ἦ καὶ νεοςςὸν τόνδ', ὑπὸ πτερῶν cπάςας;
*Με.* οὐ δῆτα· θυγατρὶ δ', ἣν θέληι, δώςω κτανεῖν.
*Αν.* οἴμοι· τί δῆτά c' οὐ καταςτένω, τέκνον;
*Με.* οὔκουν θραςεῖά γ' αὐτὸν ἐλπὶς ἀμμένει.
*Αν.* ὦ πᾶςιν ἀνθρώποιςιν ἔχθιςτοι βροτῶν
Cπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
ψευδῶν ἄνακτες, μηχανορράφοι κακῶν,
ἑλικτὰ κοὐδὲν ὑγιὲς ἀλλὰ πᾶν πέριξ
φρονοῦντες, ἀδίκως εὐτυχεῖτ' ἀν' Ἑλλάδα.
τί δ' οὐκ ἐν ὑμῖν ἐςτιν; οὐ πλεῖςτοι φόνοι;
οὐκ αἰςχροκερδεῖς, οὐ λέγοντες ἄλλα μὲν
γλώςςηι, φρονοῦντες δ' ἄλλ' ἐφευρίςκεςθ' ἀεί;
ὄλοιςθ'. ἐμοὶ μὲν θάνατος οὐχ οὕτω βαρὺς
ὅς coι δέδοκται· κεῖνα γάρ μ' ἀπώλεςεν,
ὅθ' ἡ τάλαινα πόλις ἀνηλώθη Φρυγῶν
πόςις θ' ὁ κλεινός, ὅς cε πολλάκις δορὶ

ναύτην ἔθηκεν ἀντὶ χερσαίου κακόν.
νῦν δ' ἐς γυναῖκα γοργὸς ὁπλίτης φανεὶς
κτείνεις μ'· ἀπόκτειν'· ὡς ἀθώπευτόν γέ σε
γλώσσης ἀφήσω τῆς ἐμῆς καὶ παῖδα σήν.
ἐπεὶ σὺ μὲν πέφυκας ἐν Σπάρτηι μέγας,
ἡμεῖς δὲ Τροίαι γ'. εἰ δ' ἐγὼ πράσσω κακῶς,
μηδὲν τόδ' αὔχει· καὶ σὺ γὰρ πράξειας ἄν.

*Χο.* οὐδέποτε δίδυμα λέκτρ' ἐπαινέσω βροτῶν [στρ. α
οὐδ' ἀμφιμάτορας κόρους,
†ἔριδας† οἴκων δυσμενεῖς τε λύπας·
μίαν μοι στεργέτω πόσις †γάμοις
ἀκοινώνητον ἀνδρὸς† εὐνάν.

†οὐδὲ γὰρ ἐν† πόλεσι δίπτυχοι τυραννίδες [ἀντ. α
μιᾶς ἀμείνονες φέρειν,
ἄχθος τ' ἐπ' ἄχθει καὶ στάσιν πολίταις·
τεκόντοιν θ' ὕμνον ἐργάταιν δυοῖν
ἔριν Μοῦσαι φιλοῦσι κραίνειν.

πνοαὶ δ᾽ ὅταν φέρωσι ναυτίλους θοαί, [στρ. β
κατὰ πηδαλίων διδύμα πραπίδων γνώμα
σοφῶν τε πλῆθος ἀθρόον ἀσθενέστερον
φαυλοτέρας φρενὸς αὐτοκρατοῦς.
ἑνὸς ἄρ᾽ ἄνυσις ἀνά τε μέλαθρα
κατά τε πόλιας, ὁπόταν εὑ-
  ρεῖν θέλωσι καιρόν.

ἔδειξεν ἁ Λάκαινα τοῦ στρατηλάτα [ἀντ. β
Μενέλα· διὰ γὰρ πυρὸς ἦλθ᾽ ἑτέρωι λέχει,
κτείνει δὲ τὰν τάλαιναν Ἰλιάδα κόραν
παῖδά τε δύσφρονος ἔριδος ὕπερ.
ἄθεος ἄνομος ἄχαρις ὁ φόνος·
ἔτι σε, πότνια, μετατροπὰ
  τῶνδ᾽ ἔπεισιν ἔργων.

καὶ μὴν ἐσορῶ τόδε σύγκρατον
ζεῦγος πρὸ δόμων ψήφωι θανάτου
κατακεκριμένον.
δύστηνε γύναι, τλῆμον δὲ σὺ παῖ,
μητρὸς λεχέων ὃς ὑπερθνήισκεις

οὐδὲν μετέχων
οὐδ᾽ αἴτιος ὢν βασιλεῦcιν.

Αν. ἅδ᾽ ἐγὼ χέρας αἱματη- [cτρ.
ρὰς βρόχοιcι κεκλῃμένα
πέμπομαι κατὰ γαίας.

ΠΑΙC

μᾶτερ μᾶτερ, ἐγὼ δὲ cᾶι
πτέρυγι cυγκαταβαίνω.
Αν. θῦμα δάιον, ὦ χθονὸς
Φθίας κράντορες. Πα. ὦ πάτερ,
μόλε φίλοις ἐπίκουρος.
Αν. κείcῃ δή, τέκνον ὦ φίλος,
μαcτοῖς ματέρος ἀμφὶ cᾶς
νεκρὸς ὑπὸ χθονὶ cὺν νεκρῶι ⟨τε⟩.
Πα. ὤμοι μοι, τί πάθω; τάλας
δῆτ᾽ ἐγὼ cύ τε, μᾶτερ.

Με. ἴθ᾽ ὑποχθόνιοι· καὶ γὰρ ἀπ᾽ ἐχθρῶν
ἥκετε πύργων, δύο δ᾽ ἐκ διccαῖν
θνῄcκετ᾽ ἀνάγκαιν· cὲ μὲν ἡμετέρα
ψῆφος ἀναιρεῖ, παῖδα δ᾽ ἐμὴ παῖς
τόνδ᾽ Ἑρμιόνη. καὶ γὰρ ἀνοία
μεγάλη λείπειν ἐχθροὺς ἐχθρῶν,
ἐξὸν κτείνειν
καὶ φόβον οἴκων ἀφελέcθαι.

Αν. ὦ πόϲιϲ πόϲιϲ, εἴθε ϲὰν [ἀντ.
χεῖρα καὶ δόρυ ϲύμμαχον
κτηϲαίμαν, Πριάμου παῖ.
Πα. δύϲτανοϲ, τί δ' ἐγὼ μόρου
παράτροπον μέλοϲ εὕρω;
Αν. λίϲϲου γούναϲι δεϲπότου
χρίμπτων, ὦ τέκνον. Πα. ὦ φίλοϲ
φίλοϲ, ἄνεϲ θάνατόν μοι.
Αν. λείβομαι δάκρυϲιν κόραϲ,
ϲτάζω λιϲϲάδοϲ ὡϲ πέτραϲ
λιβὰϲ ἀνάλιοϲ, ἁ τάλαινα.
Πα. ὤμοι μοι, τί δ' ἐγὼ κακῶν
μῆχοϲ ἐξανύϲωμαι;

Με. τί με προϲπίτνειϲ, ἁλίαν πέτραν
ἢ κῦμα λιταῖϲ ὣϲ ἱκετεύων;
τοῖϲ γὰρ ἐμοῖϲιν γέγον' ὠφελία,
ϲοὶ δ' οὐδὲν ἔχω φίλτρον, ἐπεί τοι
μέγ' ἀναλώϲαϲ ψυχῆϲ μόριον
Τροίαν εἷλον καὶ μητέρα ϲήν·
ἧϲ ἀπολαύων
Ἅιδην χθόνιον καταβήϲηι.

Χο. καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλαϲ,
ϲπουδῆι τιθέντα δεῦρο γηραιὸν πόδα.

ΠΗΛΕΥϹ

ὑμᾶϲ ἐρωτῶ τόν τ᾽ ἐφεϲτῶτα ϲφαγῆι,
τί ταῦτα, πῶϲ ταῦτ᾽; ἐκ τίνοϲ λόγου νοϲεῖ
δόμοϲ; τί πράϲϲετ᾽ ἄκριτα μηχανώμενοι;
Μενέλα᾽, ἐπίϲχεϲ· μὴ τάχυν᾽ ἄνευ δίκηϲ.
ἡγοῦ ϲὺ θᾶϲϲον· οὐ γὰρ ὡϲ ἔοικέ μοι
ϲχολῆϲ τόδ᾽ ἔργον, ἀλλ᾽ ἀνηβητηρίαν
ῥώμην με καὶ νῦν λαμβάνειν, εἴπερ ποτέ.
πρῶτον μὲν οὖν κατ᾽ οὖρον ὥϲπερ ἱϲτίοιϲ
ἐμπνεύϲομαι τῆιδ᾽· εἰπέ, τίνι δίκηι χέραϲ
βρόχοιϲιν ἐκδήϲαντεϲ οἵδ᾽ ἄγουϲί ϲε
καὶ παῖδ᾽; ὕπαρνοϲ γάρ τιϲ οἷϲ ἀπόλλυϲαι,
ἡμῶν ἀπόντων τοῦ τε κυρίου ϲέθεν.

*Αν.* οἵδ᾽, ὦ γεραιέ, ϲὺν τέκνωι θανουμένην
ἄγουϲί μ᾽ οὕτωϲ ὡϲ ὁρᾶιϲ. τί ϲοι λέγω;
οὐ γὰρ μιᾶϲ ϲε κληδόνοϲ προθυμίαι
μετῆλθον ἀλλὰ μυρίων ὑπ᾽ ἀγγέλων.
ἔριν δὲ τὴν κατ᾽ οἶκον οἶϲθά που κλύων
τῆϲ τοῦδε θυγατρόϲ, ὧν τ᾽ ἀπόλλυμαι χάριν.
καὶ νῦν με βωμοῦ Θέτιδοϲ, ἣ τὸν εὐγενῆ
ἔτικτέ ϲοι παῖδ᾽, ἣν ϲὺ θαυμαϲτὴν ϲέβειϲ,
ἄγουϲ᾽ ἀποϲπάϲαντεϲ, οὔτε τωι δίκηι
κρίναντεϲ οὔτε τοὺϲ ἀπόνταϲ ἐκ δόμων
μείναντεϲ, ἀλλὰ τὴν ἐμὴν ἐρημίαν

γνόντες τέκνου τε τοῦδ', ὃν οὐδὲν αἴτιον
μέλλουςι cὺν ἐμοὶ τῆι ταλαιπώρωι κτανεῖν.
ἀλλ' ἀντιάζω c', ὦ γέρον, τῶν cῶν πάρος
πίτνουςα γονάτων—χειρὶ δ' οὐκ ἔξεςτί μοι
τῆς cῆς λαβέςθαι φιλτάτης γενειάδος—
ῥῦςαί με πρὸς θεῶν· εἰ δὲ μή, θανούμεθα
αἰςχρῶς μὲν ὑμῖν, δυςτυχῶς δ' ἐμοί, γέρον.
Πη. χαλᾶν κελεύω δεςμὰ πρὶν κλαίειν τινά,
καὶ τῆςδε χεῖρας διπτύχους ἀνιέναι.
Με. ἐγὼ δ' ἀπαυδῶ, τἄλλα τ' οὐχ ἧςςων cέθεν
καὶ τῆςδε πολλῶι κυριώτερος γεγώς.
Πη. πῶς; ἦ τὸν ἁμὸν οἶκον οἰκήςεις μολὼν
δεῦρ'; οὐχ ἅλις cοι τῶν κατὰ Cπάρτην κρατεῖν;
Με. εἷλόν νιν αἰχμάλωτον ἐκ Τροίας ἐγώ.
Πη. οὑμὸς δέ γ' αὐτὴν ἔλαβε παῖς παιδὸς γέρας.
Με. οὔκουν ἐκείνου τἀμὰ τἀκείνου τ' ἐμά;
Πη. ναί,
δρᾶν εὖ, κακῶς δ' οὔ, μηδ' ἀποκτείνειν βίαι.
Με. ὡς τήνδ' ἀπάξεις οὔποτ' ἐξ ἐμῆς χερός.
Πη. cκήπτρωι γε τῶιδε cὸν καθαιμάξας κάρα.
Με. ψαῦςόν θ', ἵν' εἰδῆις, καὶ πέλας πρόςελθ' ἐμοῦ.
Πη. cὺ γὰρ μετ' ἀνδρῶν, ὦ κάκιςτε κἀκ κακῶν;
cοὶ ποῦ μέτεςτιν ὡς ἐν ἀνδράςιν λόγου;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/310 UNIVERSITÄT LEIPZIG

ὅϲτιϲ πρὸϲ ἀνδρὸϲ Φρυγὸϲ ἀπηλλάγηϲ λέχουϲ,
ἄκληιϲτ' †ἄδουλα δώμαθ' ἑϲτίαϲ† λιπών,
ὡϲ δὴ γυναῖκα ϲώφρον' ἐν δόμοιϲ ἔχων
παϲῶν κακίϲτην. οὐδ' ἂν εἰ βούλοιτό τιϲ
ϲώφρων γένοιτο Ϲπαρτιατίδων κόρη·
αἳ ξὺν νέοιϲιν ἐξερημοῦϲαι δόμουϲ
γυμνοῖϲι μηροῖϲ καὶ πέπλοιϲ ἀνειμένοιϲ
δρόμουϲ παλαίϲτραϲ τ' οὐκ ἀναϲχετῶϲ ἐμοὶ
κοινὰϲ ἔχουϲι. κᾆιτα θαυμάζειν χρεὼν
εἰ μὴ γυναῖκαϲ ϲώφροναϲ παιδεύετε;
Ἑλένην ἐρέϲθαι χρὴ τάδ', ἥτιϲ ἐκ δόμων
τὸν ϲὸν λιποῦϲα Φίλιον ἐξεκώμαϲεν
νεανίου μετ' ἀνδρὸϲ εἰϲ ἄλλην χθόνα.
κἄπειτ' ἐκείνηϲ οὕνεχ' Ἑλλήνων ὄχλον
τοϲόνδ' ἀθροίϲαϲ ἤγαγεϲ πρὸϲ Ἴλιον;
ἣν χρῆν ϲ' ἀποπτύϲαντα μὴ κινεῖν δόρυ,
κακὴν ἐφευρόντ', ἀλλ' ἐᾶν αὐτοῦ μένειν
μιϲθόν τε δόντα μήποτ' εἰϲ οἴκουϲ λαβεῖν.
ἀλλ' οὔτι ταύτηι ϲὸν φρόνημ' ἐπούριϲαϲ,
ψυχὰϲ δὲ πολλὰϲ κἀγαθὰϲ ἀπώλεϲαϲ
παίδων τ' ἄπαιδαϲ γραῦϲ ἔθηκαϲ ἐν δόμοιϲ
πολιούϲ τ' ἀφείλου πατέραϲ εὐγενῆ τέκνα.
ὧν εἷϲ ἐγὼ δύϲτηνοϲ· αὐθέντην δέ ϲε
μιάϲτορ' ὥϲ τιν' ἐϲδέδορκ' Ἀχιλλέωϲ.
ὃϲ οὐδὲ τρωθεὶϲ ἦλθεϲ ἐκ Τροίαϲ μόνοϲ,
κάλλιϲτα τεύχη δ' ἐν καλοῖϲι ϲάγμαϲιν

ὅμοι' ἐκεῖcε δεῦρό τ' ἤγαγες πάλιν.
κἀγὼ μὲν ηὔδων τῶι γαμοῦντι μήτε cοὶ
κῆδος cυνάψαι μήτε δώμαcιν λαβεῖν
κακῆς γυναικὸς πῶλον· ἐκφέρουcι γὰρ
μητρῶι' ὀνείδη. τοῦτο καὶ cκοπεῖτέ μοι,
μνηcτῆρες, ἐcθλῆς θυγατέρ' ἐκ μητρὸς λαβεῖν.
πρὸς τοῖcδε δ' εἰς ἀδελφὸν οἷ' ἐφύβριcας,
cφάξαι κελεύcας θυγατέρ' εὐηθέcτατα·
οὕτως ἔδειcας μὴ οὐ κακὴν δάμαρτ' ἔχοις;
ἑλὼν δὲ Τροίαν (εἶμι γὰρ κἀνταῦθά cοι)
οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών,
ἀλλ', ὡς ἐcεῖδες μαcτόν, ἐκβαλὼν ξίφος
φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
ἥccων πεφυκὼς Κύπριδος, ὦ κάκιcτε cύ.
κἄπειτ' ἐς οἴκους τῶν ἐμῶν ἐλθὼν τέκνων
πορθεῖς ἀπόντων, καὶ γυναῖκα δυcτυχῆ
κτείνεις ἀτίμως παῖδά θ', ὃς κλαίοντά cε
καὶ τὴν ἐν οἴκοις cὴν καταcτήcει κόρην,
κεἰ τρὶς νόθος πέφυκε· πολλάκις δέ τοι
ξηρὰ βαθεῖαν γῆν ἐνίκηcε cπορᾶι,
νόθοι τε πολλοὶ γνηcίων ἀμείνονες.
ἀλλ' ἐκκομίζου παῖδα. κύδιον βροτοῖς
πένητα χρηcτὸν ἢ κακὸν καὶ πλούcιον
γαμβρὸν πεπᾶcθαι καὶ φίλον· cὺ δ' οὐδὲν εἶ.

*Χο.* cμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα

γλῶϲϲ' ἐκπορίζει· τοῦτο δ' οἱ ϲοφοὶ βροτῶν
ἐξευλαβοῦνται, μὴ φίλοιϲ τεύχειν ἔριν.
Με. τί δῆτ' ἂν εἴποιϲ τοὺϲ γέρονταϲ ὡϲ ϲοφοὶ
καὶ τοὺϲ φρονεῖν δοκοῦνταϲ Ἕλληϲίν ποτε;
ὅτ' ὢν ϲὺ Πηλεὺϲ καὶ πατρὸϲ κλεινοῦ γεγώϲ,
κῆδοϲ ϲυνάψαϲ, αἰϲχρὰ μὲν ϲαυτῶι λέγειϲ
ἡμῖν δ' ὀνείδη διὰ γυναῖκα βάρβαρον
τήνδ', ἣν ἐλαύνειν χρῆν ϲ' ὑπὲρ Νείλου ῥοὰϲ
ὑπέρ τε Φᾶϲιν, κἀμὲ παρακαλεῖν ἀεί,
οὖϲαν μὲν ἠπειρῶτιν, οὗ πεϲήματα
πλεῖϲθ' Ἑλλάδοϲ πέπτωκε δοριπετῆ νεκρῶν,
τοῦ ϲοῦ τε παιδὸϲ αἵματοϲ κοινουμένην.
Πάριϲ γάρ, ὃϲ ϲὸν παῖδ' ἔπεφν' Ἀχιλλέα,
Ἕκτοροϲ ἀδελφὸϲ ἦν, δάμαρ δ' ἥδ' Ἕκτοροϲ.
καὶ τῆιδέ γ' εἰϲέρχηι ϲὺ ταὐτὸν ἐϲ ϲτέγοϲ
καὶ ξυντράπεζον ἀξιοῖϲ ἔχειν βίον,
τίκτειν δ' ἐν οἴκοιϲ παῖδαϲ ἐχθίϲτουϲ ἐάιϲ.
κἀγὼ προνοίαι τῆι τε ϲῆι κἀμῆι, γέρον,
κτανεῖν θέλων τήνδ' ἐκ χερῶν ἁρπάζομαι.
καίτοι φέρ'· ἅψαϲθαι γὰρ οὐκ αἰϲχρὸν λόγου·
ἢν παῖϲ μὲν ἡμὴ μὴ τέκηι, ταύτηϲ δ' ἄπο
βλάϲτωϲι παῖδεϲ, τούϲδε γῆϲ Φθιώτιδοϲ
ϲτήϲειϲ τυράννουϲ, βάρβαροι δ' ὄντεϲ γένοϲ
Ἕλληϲιν ἄρξουϲ'; εἶτ' ἐγὼ μὲν οὐ φρονῶ
μιϲῶν τὰ μὴ δίκαια, ϲοὶ δ' ἔνεϲτι νοῦϲ;

[κἀκεῖνο νῦν ἄθρησον· εἰ cὺ παῖδα cὴν
δούc τωι πολιτῶν, εἶτ' ἔπαcχε τοιάδε,
cιγῆι καθῆc' ἄν; οὐ δοκῶ· ξένηc δ' ὕπερ
τοιαῦτα λάcκειc τοὺc ἀναγκαίουc φίλουc;
καὶ μὴν ἴcον γ' ἀνήρ τε καὶ γυνὴ cτένει
ἀδικουμένη πρὸc ἀνδρόc· ὡc δ' αὔτωc ἀνὴρ
γυναῖκα μωραίνουcαν ἐν δόμοιc ἔχων.
καὶ τῶι μὲν ἔcτιν ἐν χεροῖν μέγα cθένοc,
τῆι δ' ἐν γονεῦcι καὶ φίλοιc τὰ πράγματα.
οὔκουν δίκαιον τοῖc γ' ἐμοῖc ἐπωφελεῖν;]
γέρων γέρων εἶ. τὴν δ' ἐμὴν cτρατηγίαν
λέγων ἔμ' ὠφελοῖc ἂν ἢ cιγῶν πλέον.
Ἑλένη δ' ἐμόχθηc' οὐχ ἑκοῦc' ἀλλ' ἐκ θεῶν,
καὶ τοῦτο πλεῖcτον ὠφέληcεν Ἑλλάδα·
ὅπλων γὰρ ὄντεc καὶ μάχηc ἀίcτορεc
ἔβηcαν ἐc τἀνδρεῖον· ἡ δ' ὁμιλία
πάντων βροτοῖcι γίγνεται διδάcκαλοc.
εἰ δ' ἐc πρόcοψιν τῆc ἐμῆc ἐλθὼν ἐγὼ
γυναικὸc ἔcχον μὴ κτανεῖν, ἐcωφρόνουν.
οὐδ' ἂν cὲ Φῶκον ἤθελον κατακτανεῖν.
ταῦτ' εὖ φρονῶν c' ἐπῆλθον, οὐκ ὀργῆc χάριν·
ἢν δ' ὀξυθυμῆι, coὶ μὲν ἡ γλωccαλγία
μείζων, ἐμοὶ δὲ κέρδοc ἡ προμηθία.

Χο. παύcαcθον ἤδη—λῷcτα γὰρ μακρῶι τάδε—
λόγων ματαίων, μὴ δύο cφαλῆθ' ἅμα.

Πη. οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται·
ὅταν τροπαῖα πολεμίων στήσηι στρατός,
οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,
ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται,
ὃς εἷς μετ' ἄλλων μυρίων πάλλων δόρυ,
οὐδὲν πλέον δρῶν ἑνός, ἔχει πλείω λόγον.
[σεμνοὶ δ' ἐν ἀρχαῖς ἥμενοι κατὰ πτόλιν
φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες·
οἱ δ' εἰσὶν αὐτῶν μυρίωι σοφώτεροι,
εἰ τόλμα προσγένοιτο βούλησίς θ' ἅμα.]
ὡς καὶ σὺ σός τ' ἀδελφὸς ἐξωγκωμένοι
Τροίαι κάθησθε τῆι τ' ἐκεῖ στρατηγίαι,
μόχθοισιν ἄλλων καὶ πόνοις ἐπηρμένοι.
δείξω δ' ἐγώ σοι μὴ τὸν Ἰδαῖον Πάριν
μείζω νομίζειν Πηλέως ἐχθρόν ποτε,
εἰ μὴ φθερῆι τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης
καὶ παῖς ἄτεκνος, ἣν ὅ γ' ἐξ ἡμῶν γεγὼς
ἐλᾶι δι' οἴκων τῶνδ' ἐπισπάσας κόμης·
ἣ στερρὸς οὖσα μόσχος οὐκ ἀνέξεται
τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα.
ἀλλ', εἰ τὸ κείνης δυστυχεῖ παίδων πέρι,
ἄπαιδας ἡμᾶς δεῖ καταστῆναι τέκνων;
φθείρεσθε τῆσδε, δμῶες, ὡς ἂν ἐκμάθω
εἴ τίς με λύειν τῆσδε κωλύσει χέρας.
ἔπαιρε σαυτήν· ὡς ἐγὼ καίπερ τρέμων
πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι.

ὧδ', ὦ κάκιστε, τῆϲδ' ἐλυμήνω χέραϲ;
βοῦν ἢ λέοντ' ἤλπιζεϲ ἐντείνειν βρόχοιϲ;
ἢ μὴ ξίφοϲ λαβοῦϲ' ἀμυνάθοιτό ϲε
ἔδειϲαϲ; ἕρπε δεῦρ' ὑπ' ἀγκάλαϲ, βρέφοϲ,
ξύλλυε δεϲμὰ μητρόϲ· ἐν Φθίαι ϲ' ἐγὼ
θρέψω μέγαν τοῖϲδ' ἐχθρόν. εἰ δ' ἀπῆν δορὸϲ
τοῖϲ Cπαρτιάταιϲ δόξα καὶ μάχηϲ ἀγών,
τἄλλ' ὄντεϲ ἴϲτε μηδενὸϲ βελτίονεϲ.

*Χο.* ἀνειμένον τι χρῆμα πρεϲβυτῶν γένοϲ
καὶ δυϲφύλακτον ὀξυθυμίαϲ ὕπο.

*Με.* ἄγαν προνωπὴϲ ἐϲ τὸ λοιδορεῖν φέρηι·
ἐγὼ δὲ πρὸϲ βίαν μὲν ἐϲ Φθίαν μολὼν
οὔτ' οὖν τι δράϲω φλαῦρον οὔτε πείϲομαι.
καὶ νῦν μέν (οὐ γὰρ ἄφθονον ϲχολὴν ἔχω)
ἄπειμ' ἐϲ οἴκουϲ· ἔϲτι γάρ τιϲ οὐ πρόϲω
Cπάρτηϲ πόλιϲ τιϲ, ἣ πρὸ τοῦ μὲν ἦν φίλη,
νῦν δ' ἐχθρὰ ποιεῖ· τῆιδ' ἐπεξελθεῖν θέλω
ϲτρατηλατήϲαϲ χὐποχείριον λαβεῖν.
ὅταν δὲ τἀκεῖ θῶ κατὰ γνώμην ἐμήν,
ἥξω· παρὼν δὲ πρὸϲ παρόνταϲ ἐμφανῶϲ
γαμβροὺϲ διδάξω καὶ διδάξομαι λόγουϲ.
κἂν μὲν κολάζηι τήνδε καὶ τὸ λοιπὸν ἦι
ϲώφρων καθ' ἡμᾶϲ, ϲώφρον' ἀντιλήψεται,
θυμούμενοϲ δὲ τεύξεται θυμουμένων

[ἔργοιϲι δ' ἔργα διάδοχ' ἀντιλήψεται].
τοὺϲ ϲοὺϲ δὲ μύθουϲ ῥαιδίωϲ ἐγὼ φέρω·
ϲκιὰ γὰρ ἀντίϲτοιχοϲ ὣϲ φωνὴν ἔχειϲ,
ἀδύνατοϲ οὐδὲν ἄλλο πλὴν λέγειν μόνον.

Πη. ἡγοῦ τέκνον μοι δεῦρ' ὑπ' ἀγκάλαιϲ ϲταθείϲ,
ϲύ τ', ὦ τάλαινα· χείματοϲ γὰρ ἀγρίου
τυχοῦϲα λιμένας ἦλθεϲ εἰϲ εὐηνέμουϲ.

Αν. ὦ πρέϲβυ, θεοί ϲοι δοῖεν εὖ καὶ τοῖϲι ϲοῖϲ,
ϲώϲαντι παῖδα κἀμὲ τὴν δυϲδαίμονα.
ὅρα δὲ μὴ νῷιν εἰϲ ἐρημίαν ὁδοῦ
πτήξαντεϲ οἵδε πρὸϲ βίαν ἄγωϲί με,
γέροντα μὲν ϲ' ὁρῶντεϲ, ἀϲθενῆ δ' ἐμὲ
καὶ παῖδα τόνδε νήπιον· ϲκόπει τάδε,
μὴ νῦν φυγόντεϲ εἶθ' ἁλῶμεν ὕϲτερον.

Πη. οὐ μὴ γυναικῶν δειλὸν εἰϲοίϲειϲ λόγον·
χώρει· τίϲ ὑμῶν ἅψεται; κλαίων ἄρα
ψαύϲει. θεῶν γὰρ οὕνεχ' ἱππικοῦ τ' ὄχλου
πολλῶν θ' ὁπλιτῶν ἄρχομεν Φθίαν κάτα·
ἡμεῖϲ δ' ἔτ' ὀρθοὶ κοὐ γέροντεϲ, ὡϲ δοκεῖϲ,
ἀλλ' ἔϲ γε τοιόνδ' ἄνδρ' ἀποβλέψαϲ μόνον
τροπαῖον αὐτοῦ ϲτήϲομαι, πρέϲβυϲ περ ὤν.
πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχοϲ ᾖι
κρείϲϲων· τί γὰρ δεῖ δειλὸν ὄντ' εὐϲωματεῖν;

Χο. ἢ μὴ γενοίμαν ἢ πατέρων ἀγαθῶν [στρ.
εἴην πολυκτήτων τε δόμων μέτοχος.
εἴ τι γὰρ πάσχοι τις ἀμήχανον, ἀλκᾶς
οὐ σπάνις εὐγενέταις,
κηρυσσομένοισι δ' ἀπ' ἐσθλῶν δωμάτων
τιμὰ καὶ κλέος· οὔτοι λείψανα τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ' ἀρετὰ
καὶ θανοῦσι λάμπει.

κρεῖσσον δὲ νίκαν μὴ κακόδοξον ἔχειν [ἀντ.
ἢ ξὺν φθόνωι σφάλλειν δυνάμει τε δίκαν.
ἡδὺ μὲν γὰρ αὐτίκα τοῦτο βροτοῖσιν,
ἐν δὲ χρόνωι τελέθει
ξηρὸν καὶ ὀνείδεσιν ἔγκειται δόμος.
ταύταν ἤινεσα ταύταν καὶ †φέρομαι† βιοτάν,
μηδὲν δίκας ἔξω κράτος ἐν θαλάμοις
καὶ πόλει δύνασθαι.

ὦ γέρον Αἰακίδα, [ἐπωιδ.
πείθομαι καὶ σὺν Λαπίθαισί σε Κενταύ-
ροις ὁμιλῆσαι δορὶ
κλεινοτάτωι, καὶ ἐπ' Ἀργώιου δορὸς ἄξενον ὑγρὰν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/318 UNIVERSITÄT LEIPZIG

ἐκπερᾶcαι ποντιᾶν Ξυμπληγάδων
κλεινὰν ἐπὶ ναυcτολίαν,
Ἰλιάδα τε πόλιν ὅτε ⟨τὸ⟩ πάροc
εὐδόκιμον ὁ Διὸc ἶνιc ἀμφέβαλε φόνωι
κοινὰν τὰν εὔκλειαν ἔχοντ'
Εὐρώπαν ἀφικέcθαι.

ΤΡΟΦΟC

ὦ φίλταται γυναῖκεc, ὡc κακὸν κακῶι
διάδοχον ἐν τῆιδ' ἡμέραι πορcύνεται.
δέcποινα γὰρ κατ' οἶκον, Ἑρμιόνην λέγω,
πατρόc τ' ἐρημωθεῖcα cυννοίαι θ' ἅμα
οἷον δέδρακεν ἔργον, Ἀνδρομάχην κτανεῖν
καὶ παῖδα βουλεύcαcα, κατθανεῖν θέλει,
πόcιν τρέμουcα, μὴ ἀντὶ τῶν δεδραμένων
ἐκ τῶνδ' ἀτίμωc δωμάτων ἀποcταλῆι
[ἢ κατθάνηι κτείνουcα τοὺc οὐ χρὴ κτανεῖν].
μόλιc δέ νιν θέλουcαν ἀρτῆcαι δέρην
εἴργουcι φύλακεc δμῶεc ἔκ τε δεξιᾶc
ξίφη καθαρπάζουcιν ἐξαιρούμενοι.
οὕτω μεταλγεῖ καὶ τὰ πρὶν δεδραμένα
ἔγνωκε πράξαc' οὐ καλῶc. ἐγὼ μὲν οὖν
δέcποιναν εἴργουc' ἀγχόνηc κάμνω, φίλαι·
ὑμεῖc δὲ βᾶcαι τῶνδε δωμάτων ἔcω



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/319 UNIVERSITÄT LEIPZIG

θανάτου νιν ἐκλύcαcθε· τῶν γὰρ ἠθάδων
φίλων νέοι μολόντες εὐπιθέcτεροι.

*Χο.* καὶ μὴν ἐν οἴκοις προςπόλων ἀκούομεν
βοὴν ἐφ' οἷcιν ἦλθες ἀγγέλλουςα cύ.
δείξειν δ' ἔοικεν ἡ τάλαιν' ὅcον cτένει
πράξαcα δεινά· δωμάτων γὰρ ἐκπερᾶι
φεύγουcα χεῖραc προcπόλων πόθωι θανεῖν.

*Ερ.* ἰώ μοί μοι· [cτρ. α
cπάραγμα κόμας ὀνύχων τε
δάϊ' ἀμύγματα θήcομαι.

*Τρ.* ὦ παῖ, τί δράcειc; cῶμα cὸν καταικιῆι;

*Ερ.* αἰαῖ αἰαῖ· [ἀντ. α
ἔρρ' αἰθέριον πλοκαμῶν ἐ-
μῶν ἄπο, λεπτόμιτον φάροc.

*Τρ.* τέκνον, κάλυπτε cτέρνα, cύνδηcον πέπλουc.

*Ερ.* τί δὲ cτέρνα δεῖ καλύπτειν πέπλοιc; [cτρ. β
δῆλα καὶ ἀμφιφανῆ καὶ ἄκρυπτα δε-
δράκαμεν πόcιν.

*Τρ.* ἀλγεῖς φόνον ῥάψαςα ςυγγάμωι ςέθεν;

*Ερ.* κατὰ μὲν οὖν τόλμας ςτένω δαΐας, [ἀντ. β
ἃν ῥέξ' ἁ κατάρατος ἐγὼ κατά-
ρατος ἀνθρώποις.

*Τρ.* ςυγγνώςεταί ςοι τήνδ' ἁμαρτίαν πόςις.

*Ερ.* τί μοι ξίφος ἐκ χερὸς ἠγρεύςω;
ἀπόδος, ὦ φίλος, ἀπόδος, ἵν' ἀνταίαν
ἐρείςω πλαγάν· τί με βρόχων εἴργεις;

*Τρ.* ἀλλ' εἴ ς' ἀφείην μὴ φρονοῦςαν, ὡς θάνῃς;

*Ερ.* οἴμοι πότμου.
ποῦ μοι πυρὸς φίλα φλόξ;
ποῦ δ' ἐκ πέτρας ἀερθῶ,
⟨ἢ⟩ κατὰ πόντον ἢ καθ' ὕλαν ὀρέων,
ἵνα θανοῦςα νερτέροιςιν μέλω;

*Τρ.* τί ταῦτα μοχθεῖς; ςυμφοραὶ θεήλατοι
πᾶςιν βροτοῖςιν ἢ τότ' ἦλθον ἢ τότε.

Ερ. ἔλιπεϲ ἔλιπεϲ, ὦ πάτερ, ἐπακτίαν
μονάδ' ἔρημον οὖϲαν ἐνάλου κώπαϲ.
ὀλεῖ μ' ὀλεῖ με δηλαδὴ
πόϲιϲ· οὐκέτι τᾶιδ' ἐνοικήϲω
νυμφιδίωι ϲτέγαι.
τίνοϲ ἄγαλμα θεῶν ἱκέτιϲ ὁρμαθῶ;
ἢ δούλα δούλαϲ γόναϲι προϲπέϲω;
Φθιάδοϲ ἐκ γᾶϲ
κυανόπτεροϲ ὄρνιϲ εἴθ' εἴην,
πευκᾶεν ϲκάφοϲ ἇι διὰ κυανέ-
αϲ ἐπέραϲεν ἀκτάϲ,
πρωτόπλοοϲ πλάτα.

Τρ. ὦ παῖ, τὸ λίαν οὔτ' ἐκεῖν' ἐπήινεϲα,
ὅτ' ἐϲ γυναῖκα Τρωιάδ' ἐξημάρτανεϲ,
οὔτ' αὖ τὸ νῦν ϲου δεῖμ' ὃ δειμαίνειϲ ἄγαν.
οὐχ ὧδε κῆδοϲ ϲὸν διώϲεται πόϲιϲ
φαύλοιϲ γυναικὸϲ βαρβάρου πειϲθεὶϲ λόγοιϲ.
οὐ γάρ τί ϲ' αἰχμάλωτον ἐκ Τροίαϲ ἔχει,
ἀλλ' ἀνδρὸϲ ἐϲθλοῦ παῖδα ϲὺν πολλοῖϲ λαβὼν

ἔδνοιcι πόλεώc τ' οὐ μέcωc εὐδαίμονοc.
πατὴρ δέ c' οὐχ ὧδ' ὡc cὺ δειμαίνειc, τέκνον,
προδοὺc ἐάcει δωμάτων τῶνδ' ἐκπεcεῖν.
ἀλλ' εἴcιθ' εἴcω μηδὲ φαντάζου δόμων
πάροιθε τῶνδε, μή τιν' αἰcχύνην λάβηιc
[πρόcθεν μελάθρων τῶνδ' ὁρωμένη, τέκνον].
Χο. καὶ μὴν ὅδ' ἀλλόχρωc τιc ἔκδημοc ξένοc
cπουδῆι πρὸc ἡμᾶc βημάτων πορεύεται.

ΟΡΕCΤΗC

ξέναι γυναῖκεc, ἦ τάδ' ἔcτ' Ἀχιλλέωc
παιδὸc μέλαθρα καὶ τυραννικαὶ cτέγαι;
Χο. ἔγνωc· ἀτὰρ δὴ πυνθάνηι τίc ὢν τάδε;
Ορ. Ἀγαμέμνονόc τε καὶ Κλυταιμήcτραc τόκοc,
ὄνομα δ' Ὀρέcτηc· ἔρχομαι δὲ πρὸc Διὸc
μαντεῖα Δωδωναῖ'. ἐπεὶ δ' ἀφικόμην
Φθίαν, δοκεῖ μοι ξυγγενοῦc μαθεῖν περὶ
γυναικόc, εἰ ζῆι κεὐτυχοῦcα τυγχάνει
ἡ Cπαρτιᾶτιc Ἑρμιόνη· τηλουρὰ γὰρ
ναίουc' ἀφ' ἡμῶν πεδί' ὅμωc ἐcτὶν φίλη.
Ερ. ὦ ναυτίλοιcι χείματοc λιμὴν φανεὶc
Ἀγαμέμνονοc παῖ, πρόc cε τῶνδε γουνάτων
οἴκτιρον ἡμᾶc ὧν ἐπιcκοπεῖc τύχαc,
πράccονταc οὐκ εὖ. cτεμμάτων δ' οὐχ ἧccοναc
cοῖc προcτίθημι γόναcιν ὠλέναc ἐμάc.
Ορ. ἔα·
τί χρῆμα; μῶν ἐcφάλμεθ' ἢ caφῶc ὁρῶ
δόμων ἄναccαν τήνδε Μενέλεω κόρην;

Ερ. ἥνπερ μόνην γε Τυνδαρὶς τίκτει γυνὴ
Ἑλένη κατ' οἴκους πατρί· μηδὲν ἀγνόει.
Ορ. ὦ Φοῖβ' ἀκέστορ, πημάτων δοίης λύσιν.
τί χρῆμα; πρὸς θεῶν ἢ βροτῶν πάσχεις κακά;
Ερ. τὰ μὲν πρὸς ἡμῶν, τὰ δὲ πρὸς ἀνδρὸς ὅς μ' ἔχει,
τὰ δ' ἐκ θεῶν του· πανταχῆι δ' ὀλώλαμεν.
Ορ. τίς οὖν ἂν εἴη μὴ πεφυκότων γέ πω
παίδων γυναικὶ συμφορὰ πλὴν ἐς λέχος;
Ερ. τοῦτ' αὐτὸ καὶ νοσοῦμεν· εὖ μ' ὑπηγάγου.
Ορ. ἄλλην τιν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις;
Ερ. τὴν αἰχμάλωτον Ἕκτορος ξυνευνέτιν.
Ορ. κακόν γ' ἔλεξας, δίσς' ἕν' ἄνδρ' ἔχειν λέχη.
Ερ. τοιαῦτα ταῦτα. κἆιτ' ἔγωγ' ἠμυνάμην.
Ορ. μῶν ἐς γυναῖκ' ἔρραψας οἷα δὴ γυνή;
Ερ. φόνον γ' ἐκείνηι καὶ τέκνωι νοθαγενεῖ.
Ορ. κἄκτεινας, ἤ τις συμφορά σ' ἀφείλετο;
Ερ. γέρων γε Πηλεύς, τοὺς κακίονας σέβων.
Ορ. σοὶ δ' ἦν τις ὅστις τοῦδ' ἐκοινώνει φόνου;
Ερ. πατήρ γ' ἐπ' αὐτὸ τοῦτ' ἀπὸ Σπάρτης μολών.
Ορ. κἄπειτα τοῦ γέροντος ἡσσήθη χερί;
Ερ. αἰδοῖ γε· καί μ' ἔρημον οἴχεται λιπών.
Ορ. συνῆκα· ταρβεῖς τοῖς δεδραμένοις πόσιν.
Ερ. ἔγνως· ὀλεῖ γάρ μ' ἐνδίκως. τί δεῖ λέγειν;
ἀλλ' ἄντομαί σε Δία καλοῦς' ὁμόγνιον,
πέμψον με χώρας τῆσδ' ὅποι προσωτάτω
ἢ πρὸς πατρῶιον μέλαθρον· ὡς δοκοῦσί γε



SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/324
UNIVERSITÄT LEIPZIG

δόμοι τ᾽ ἐλαύνειν φθέγμ᾽ ἔχοντες οἵδε με,
μισεῖ τε γαῖα Φθιάς. εἰ δ᾽ ἥξει πάρος
Φοίβου λιπὼν μαντεῖον ἐς δόμους πόσις,
κτενεῖ μ᾽ ἐπ᾽ αἰσχίστοισιν, ἢ δουλεύσομεν
νόθοισι λέκτροις ὧν ἐδέσποζον πρὸ τοῦ.
πῶς οὖν τάδ᾽, ὥς εἴποι τις, ἐξημάρτανον;
κακῶν γυναικῶν εἴσοδοί μ᾽ ἀπώλεσαν,
αἵ μοι λέγουσαι τούσδ᾽ ἐχαύνωσαν λόγους·
Σὺ τὴν κακίστην αἰχμάλωτον ἐν δόμοις
δούλην ἀνέξῃ σοι λέχους κοινουμένην;
μὰ τὴν ἄνασσαν, οὐκ ἂν ἔν γ᾽ ἐμοῖς δόμοις
βλέπουσ᾽ ἂν αὐγὰς τἄμ᾽ ἐκαρποῦτ᾽ ἂν λέχη.
κἀγὼ κλύουσα τούσδε Σειρήνων λόγους
[σοφῶν πανούργων ποικίλων λαλημάτων]
ἐξηνεμώθην μωρίᾳ. τί γάρ μ᾽ ἐχρῆν
πόσιν φυλάσσειν, ᾗ παρῆν ὅσων ἔδει;
πολὺς μὲν ὄλβος, δωμάτων δ᾽ ἠνάσσομεν,
παῖδας δ᾽ ἐγὼ μὲν γνησίους ἔτικτον ἄν,
ἣ δ᾽ ἡμιδούλους τοῖς ἐμοῖς νοθαγενεῖς.
ἀλλ᾽ οὔποτ᾽ οὔποτ᾽ (οὐ γὰρ εἰσάπαξ ἐρῶ)
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἔστιν γυνή,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον ἐσφοιτᾶν ἐᾶν
γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν·
ἣ μέν τι κερδαίνουσα συμφθείρει λέχος,
ἣ δ᾽ ἀμπλακοῦσα συννοσεῖν αὑτῇ θέλει,

πολλαὶ δὲ μαργότητι· κἀντεῦθεν δόμοι
νοσοῦϲιν ἀνδρῶν. πρὸϲ τάδ' εὖ φυλάϲϲετε
κλήιθροιϲι καὶ μοχλοῖϲι δωμάτων πύλαϲ·
ὑγιὲϲ γὰρ οὐδὲν αἱ θύραθεν εἴϲοδοι
δρῶϲιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

Χο. ἄγαν ἐφῆκαϲ γλῶϲϲαν ἐϲ τὸ ϲύμφυτον.
ϲυγγνωϲτὰ μέν νυν ϲοὶ τάδ', ἀλλ' ὅμωϲ χρεὼν
κοϲμεῖν γυναῖκαϲ τὰϲ γυναικείαϲ νόϲουϲ.

Ορ. ϲοφόν τι χρῆμα τοῦ διδάξαντοϲ βροτοὺϲ
λόγουϲ ἀκούειν τῶν ἐναντίων πάρα.
ἐγὼ γὰρ εἰδὼϲ τῶνδε ϲύγχυϲιν δόμων
ἔριν τε τὴν ϲὴν καὶ γυναικὸϲ Ἕκτοροϲ
φυλακὰϲ ἔχων ἔμιμνον, εἴτ' αὐτοῦ μενεῖϲ
εἴτ' ἐκφοβηθεῖϲ' αἰχμαλωτίδοϲ φόνωι
γυναικὸϲ οἴκων τῶνδ' ἀπηλλάχθαι θέλειϲ.
ἦλθον δὲ ϲὰϲ μὲν οὐ ϲέβων ἐπιϲτολάϲ,
εἰ δ' ἐνδιδοίηϲ, ὥϲπερ ἐνδίδωϲ, λόγον
πέμψων ϲ' ἀπ' οἴκων τῶνδ'. ἐμὴ γὰρ οὖϲα πρὶν
ϲὺν τῶιδε ναίειϲ ἀνδρὶ ϲοῦ πατρὸϲ κάκηι,
ὃϲ πρὶν τὰ Τροίαϲ ἐϲβαλεῖν ὁρίϲματα
γυναῖκ' ἐμοί ϲε δοὺϲ ὑπέϲχεθ' ὕϲτερον
τῶι νῦν ϲ' ἔχοντι, Τρωιάδ' εἰ πέρϲοι πόλιν.
ἐπεὶ δ' Ἀχιλλέωϲ δεῦρ' ἐνόϲτηϲεν γόνοϲ,
ϲῶι μὲν ϲυνέγνων πατρί, τὸν δ' ἐλιϲϲόμην
γάμουϲ ἀφεῖναι ϲούϲ, ἐμὰϲ λέγων τύχαϲ

καὶ τὸν παρόντα δαίμον', ὡς φίλων μὲν ἂν
γήμαιμ' ἀπ' ἀνδρῶν, ἔκτοθεν δ' οὐ ῥαιδίως,
φεύγων ἀπ' οἴκων ἃς ἐγὼ φεύγω φυγάς.
ὁ δ' ἦν ὑβριστὴς ἔς τ' ἐμῆς μητρὸς φόνον
τάς θ' αἱματωποὺς θεὰς ὀνειδίζων ἐμοί.
κἀγὼ ταπεινὸς ὢν τύχαις ταῖς οἴκοθεν
ἤλγουν μὲν ἤλγουν, συμφορὰς δ' ἠνειχόμην,
σῶν δὲ στερηθεὶς ᾠχόμην ἄκων γάμων.
νῦν οὖν, ἐπειδὴ περιπετεῖς ἔχεις τύχας
καὶ ξυμφορὰν τήνδ' ἐσπεσοῦσ' ἀμηχανεῖς,
ἄξω σ' ἐς οἴκους καὶ πατρὸς δώσω χερί.
τὸ συγγενὲς γὰρ δεινόν, ἔν τε τοῖς κακοῖς
οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.

*Ερ.* νυμφευμάτων μὲν τῶν ἐμῶν πατὴρ ἐμὸς
μέριμναν ἕξει, κοὐκ ἐμὸν κρίνειν τόδε.
ἀλλ' ὡς τάχιστα τῶνδέ μ' ἔκπεμψον δόμων,
μὴ φθῆι σε προσβὰς δῶμα καί μ' ἑλὼν πόσις
ἢ πρέσβυς οἴκους μ' ἐξερημοῦσαν μαθὼν
Πηλεὺς μετέλθηι πωλικοῖς διώγμασιν.

*Ορ.* θάρσει γέροντος χεῖρα· τὸν δ' Ἀχιλλέως
μηδὲν φοβηθῆις παῖδ', ὅσ' εἰς ἔμ' ὕβρισεν.

τοία γὰρ αὐτῶι μηχανὴ πεπλεγμένη
βρόχοις ἀκινήτοισιν ἕστηκεν φόνου
πρὸς τῆσδε χειρός· ἣν πάρος μὲν οὐκ ἐρῶ,
τελουμένων δὲ Δελφὶς εἴσεται πέτρα.
ὁ μητροφόντης δ', ἣν δορυξένων ἐμῶν
μείνωσιν ὅρκοι Πυθικὴν ἀνὰ χθόνα,
δείξω γαμεῖν σφε μηδέν' ὧν ἐχρῆν ἐμέ.
πικρῶς δὲ πατρὸς φόνιον αἰτήσει δίκην
ἄνακτα Φοῖβον· οὐδέ νιν μετάστασις
γνώμης ὀνήσει θεῶι διδόντα νῦν δίκας,
ἀλλ' ἔκ τ' ἐκείνου διαβολαῖς τε ταῖς ἐμαῖς
κακῶς ὀλεῖται· γνώσεται δ' ἔχθραν ἐμήν.
ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν εἰς ἀναστροφὴν
δαίμων δίδωσι κοὐκ ἐᾶι φρονεῖν μέγα.

Χο. ὦ Φοῖβε πυργώσας τὸν ἐν Ἰλίωι εὐτειχῆ πάγον [στρ. α
καὶ πόντιε κυανέαις ἵπποις διφρεύ-
ων ἅλιον πέλαγος,
τίνος οὕνεκ' ἄτιμον ὄργα-
νον χεροτεκτοσύνας Ἐ-
νυαλίωι δοριμήστορι προσθέν-
τες τάλαιναν τάλαι-
ναν μεθεῖτε Τροίαν;

πλείϲτουϲ δ' ἐπ' ἀκταῖϲιν Cιμοεντίϲιν εὐίππουϲ [ἀντ. α
  ὄχουϲ
ἐζεύξατε καὶ φονίουϲ ἀνδρῶν ἁμίλ-
  λαϲ ἔθετ' ἀϲτεφάνουϲ·
ἀπὸ δὲ φθίμενοι βεβᾶϲιν
  Ἰλιάδαι βαϲιλῆεϲ,
  οὐδ' ἔτι πῦρ ἐπιβώμιον ἐν Τροί-
  αι θεοῖϲιν λέλαμ-
  πεν καπνῶι θυώδει.

βέβακε δ' Ἀτρείδαϲ ἀλόχου παλάμαιϲ, [ϲτρ. β
αὐτά τ' ἐναλλάξαϲα φόνον θανάτου
πρὸϲ τέκνων ἐπηῦρεν.
θεοῦ θεοῦ νιν κέλευϲμ' ἐπεϲτράφη
μαντόϲυνον, ὅτε νιν Ἄργοϲ ἐμπορευθεὶϲ
Ἀγαμεμνόνιοϲ κέλωρ, ἀδύτων ἀποβάϲ,
ἔκταν', ὢν ματρὸϲ φονεύϲ.
ὦ δαῖμον, ὦ Φοῖβε, πῶϲ πείθομαι;

πολλαὶ δ' ἀν' Ἑλλάνων ἀγόρουϲ ϲτοναχαὶ [ἀντ. β
μέλποντο δυϲτάνων τεκέων, ἄλοχοι δ'
ἐξέλειπον οἴκουϲ

πρὸc ἄλλον εὐνάτορ᾽. οὐχὶ cοὶ μόναι
δύcφρονεc ἐνέπεcον, οὐ φίλοιcι, λῦπαι·
νόcον Ἑλλὰc ἔτλα, νόcον· διέβα δὲ Φρυγῶν
καὶ πρὸc εὐκάρπουc γύαc
cκηπτὸc cταλάccων Δαναΐδαιc φόνον.

Πη. Φθιώτιδεc γυναῖκεc, ἱcτοροῦντί μοι
cημήνατ᾽· ᾐcθόμην γὰρ οὐ cαφῆ λόγον
ὡc δώματ᾽ ἐκλιποῦcα Μενέλεω κόρη
φρούδη τάδ᾽· ἥκω δ᾽ ἐκμαθεῖν cπουδὴν ἔχων
εἰ ταῦτ᾽ ἀληθῆ· τῶν γὰρ ἐκδήμων φίλων
δεῖ τοὺc κατ᾽ οἶκον ὄνταc ἐκπονεῖν τύχαc.
Χο. Πηλεῦ, cαφῶc ἤκουcαc· οὐδ᾽ ἐμοὶ καλὸν
κρύπτειν ἐν οἷc παροῦcα τυγχάνω κακοῖc·
βαcίλεια γὰρ τῶνδ᾽ οἴχεται φυγὰc δόμων.
Πη. τίνοc φόβου τυχοῦcα; διαπέραινέ μοι.
Χο. πόcιν τρέμουcα, μὴ δόμων νιν ἐκβάληι.
Πη. μῶν ἀντὶ παιδὸc θαναcίμων βουλευμάτων;
Χο. ναί, καὶ γυναικὸc αἰχμαλωτίδοc φόνωι.
Πη. cὺν πατρὶ δ᾽ οἴκουc ἢ τίνοc λείπει μέτα;
Χο. Ἀγαμέμνονόc νιν παῖc βέβηκ᾽ ἄγων χθονόc.
Πη. ποίαν περαίνων ἐλπίδ᾽; ἢ γῆμαι θέλων;
Χο. καὶ cῶι γε παιδὸc παιδὶ πορcύνων μόρον.
Πη. κρυπτὸc καταcτὰc ἢ κατ᾽ ὄμμ᾽ ἐλθὼν μάχηι;
Χο. ἁγνοῖc ἐν ἱεροῖc Λοξίου Δελφῶν μέτα.

*Πη.* οἴμοι· τόδ᾽ ἤδη δεινόν. οὐχ ὅσον τάχος
χωρήσεταί τις Πυθικὴν πρὸς ἑστίαν
καὶ τἀνθάδ᾽ ὄντα τοῖς ἐκεῖ λέξει φίλοις,
πρὶν παῖδ᾽ Ἀχιλλέως κατθανεῖν ἐχθρῶν ὕπο;

*ΑΓΓΕΛΟΣ*

ὤμοι μοι·
οἵας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας
σοί τ᾽, ὦ γεραιέ, καὶ φίλοισι δεσπότου.
*Πη.* αἰαῖ· πρόμαντις θυμὸς ὥς τι προσδοκᾶι.
*Αγ.* οὐκ ἔστι σοι παῖς παιδός, ὡς μάθηις, γέρον
Πηλεῦ· τοιάσδε φασγάνων πληγὰς ἔχει
Δελφῶν ὑπ᾽ ἀνδρῶν καὶ Μυκηναίου ξένου.
*Χο.* ἆ ἆ, τί δράσεις, ὦ γεραιέ; μὴ πέσηις·
ἔπαιρε σαυτόν. *Πη.* οὐδέν εἰμ᾽· ἀπωλόμην.
φρούδη μὲν αὐδή, φροῦδα δ᾽ ἄρθρα μου κάτω.
*Αγ.* ἄκουσον, εἰ καὶ σοῖς φίλοις ἀμυναθεῖν
χρήιζεις, τὸ πραχθέν, σὸν κατορθώσας δέμας.
*Πη.* ὦ μοῖρα, γήρως ἐσχάτοις πρὸς τέρμασιν
οἵα με τὸν δύστηνον ἀμφιβᾶσ᾽ ἔχεις.
πῶς δ᾽ οἴχεταί μοι παῖς μόνου παιδὸς μόνος;
σήμαιν᾽· ἀκοῦσαι δ᾽ οὐκ ἀκούσθ᾽ ὅμως θέλω.
*Αγ.* ἐπεὶ τὸ κλεινὸν ἤλθομεν Φοίβου πέδον,
τρεῖς μὲν φαεννὰς ἡλίου διεξόδους
θέαι διδόντες ὄμματ᾽ ἐξεπίμπλαμεν.

καὶ τοῦθ' ὕποπτον ἦν ἄρ'· ἔς τε συστάσεις
κύκλους τ' ἐχώρει λαὸς οἰκήτωρ θεοῦ.
Ἀγαμέμνονος δὲ παῖς διαστείχων πόλιν
ἐς οὖς ἑκάστωι δυσμενεῖς ηὔδα λόγους·
Ὁρᾶτε τοῦτον, ὃς διαστείχει θεοῦ
χρυσοῦ γέμοντα γύαλα, θησαυροὺς βροτῶν,
τὸ δεύτερον παρόνθ' ἐφ' οἷσι καὶ πάρος
δεῦρ' ἦλθε, Φοίβου ναὸν ἐκπέρσαι θέλων;
κἀκ τοῦδ' ἐχώρει ῥόθιον ἐν πόλει κακόν,
ἀρχαῖσί τ' ἐπληροῦτο βουλευτήρια
ἰδίαι θ' ὅσοι θεοῦ χρημάτων ἐφέστασαν
φρουρὰν ἐτάξαντ' ἐν περιστύλοις δόμοις.
ἡμεῖς δὲ μῆλα, φυλλάδος Παρνασίας
παιδεύματ', οὐδὲν τῶνδέ πω πεπυσμένοι,
λαβόντες ἦιμεν ἐσχάραις τ' ἐφέσταμεν
σὺν προξένοισι μάντεσίν τε Πυθικοῖς.
καί τις τόδ' εἶπεν· Ὦ νεανία, τί σοι
θεῶι κατευξώμεσθα; τίνος ἥκεις χάριν;
ὁ δ' εἶπε· Φοίβωι τῆς πάροιθ' ἁμαρτίας
δίκας παρασχεῖν βουλόμεσθ'· ᾔτησα γὰρ
πατρός ποτ' αὐτὸν αἵματος δοῦναι δίκην.
κἀνταῦθ' Ὀρέστου μῦθος ἰσχύων μέγα
ἐφαίνεθ', ὡς ψεύδοιτο δεσπότης ἐμός,
ἥκων ἐπ' αἰσχροῖς. ἔρχεται δ' ἀνακτόρων
κρηπῖδος ἐντός, ὡς πάρος χρηστηρίων
εὔξαιτο Φοίβωι, τυγχάνει δ' ἐν ἐμπύροις·
τῶι δὲ ξιφήρης ἆρ' ὑφειστήκει λόχος

δάφνηι σκιασθείς, ὧν Κλυταιμήστρας τόκος
εἷς ἦν, ἁπάντων τῶνδε μηχανορράφος.
χὠ μὲν κατ' ὄμμα στὰς προσεύχεται θεῶι,
οἱ δ' ὀξυθήκτοις φασγάνοις ὡπλισμένοι
κεντοῦσ' ἀτευχῆ παῖδ' Ἀχιλλέως λάθραι.
χωρεῖ δὲ πρύμναν· οὐ γὰρ ἐς καιρὸν τυπεὶς
ἐτύγχαν'· ἐξέλκει δὲ καὶ παραστάδος
κρεμαστὰ τεύχη πασσάλων καθαρπάσας
ἔστη 'πὶ βωμοῦ γοργὸς ὁπλίτης ἰδεῖν,
βοᾶι δὲ Δελφῶν παῖδας ἱστορῶν τάδε·
Τίνος μ' ἕκατι κτείνετ' εὐσεβεῖς ὁδοὺς
ἥκοντα; ποίας ὄλλυμαι πρὸς αἰτίας;
τῶν δ' οὐδὲν οὐδεὶς μυρίων ὄντων πέλας
ἐφθέγξατ', ἀλλ' ἔβαλλον ἐκ χειρῶν πέτροις.
πυκνῆι δὲ νιφάδι πάντοθεν σποδούμενος
προύτεινε τεύχη κἀφυλάσσετ' ἐμβολὰς
ἐκεῖσε κἀκεῖσ' ἀσπίδ' ἐκτείνων χερί.
ἀλλ' οὐδὲν ἦνον, ἀλλὰ πόλλ' ὁμοῦ βέλη,
οἰστοί, μεσάγκυλ' ἔκλυτοί τ' ἀμφώβολοι
σφαγῆς ἐχώρουν βουπόροι ποδῶν πάρος.
δεινὰς δ' ἂν εἶδες πυρρίχας φρουρουμένου
βέλεμνα παιδός. ὡς δέ νιν περισταδὸν
κύκλωι κατεῖχον οὐ διδόντες ἀμπνοάς,
βωμοῦ κενώσας δεξίμηλον ἐσχάραν,
τὸ Τρωϊκὸν πήδημα πηδήσας ποδοῖν

χωρεῖ πρὸς αὐτούς· οἱ δ' ὅπως πελειάδες
ἱέρακ' ἰδοῦςαι πρὸς φυγὴν ἐνώτιςαν.
πολλοὶ δ' ἔπιπτον μιγάδες ἔκ τε τραυμάτων
αὐτοί θ' ὑφ' αὑτῶν ςτενοπόρους κατ' ἐξόδους.
κραυγὴ δ' ἐν εὐφήμοιςι δύςφημος δόμοις
πέτραιςιν ἀντέκλαγξ'· ἐν εὐδίαι δέ πως
ἔςτη φαεννοῖς δεςπότης ςτίλβων ὅπλοις,
πρὶν δή τις ἀδύτων ἐκ μέςων ἐφθέγξατο
δεινόν τι καὶ φρικῶδες, ὦρςε δὲ ςτρατὸν
ςτρέψας πρὸς ἀλκήν. ἔνθ' Ἀχιλλέως πίτνει
παῖς ὀξυθήκτωι πλευρὰ φαςγάνωι τυπεὶς
[Δελφοῦ πρὸς ἀνδρὸς ὅςπερ αὐτὸν ὤλεςεν]
πολλῶν μετ' ἄλλων· ὡς δὲ πρὸς γαῖαν πίτνει,
τίς οὐ ςίδηρον προςφέρει, τίς οὐ πέτρον,
βάλλων ἀράςςων; πᾶν δ' ἀνήλωται δέμας
τὸ καλλίμορφον τραυμάτων ὕπ' ἀγρίων.
νεκρὸν δὲ δή νιν κείμενον βωμοῦ πέλας
ἐξέβαλον ἐκτὸς θυοδόκων ἀνακτόρων.
ἡμεῖς δ' ἀναρπάςαντες ὡς τάχος χεροῖν
κομίζομέν νίν ςοι κατοιμῶξαι γόοις
κλαῦςαί τε, πρέςβυ, γῆς τε κοςμῆςαι τάφωι.
τοιαῦθ' ὁ τοῖς ἄλλοιςι θεςπίζων ἄναξ,
ὁ τῶν δικαίων πᾶςιν ἀνθρώποις κριτής,
δίκας διδόντα παῖδ' ἔδραςε' Ἀχιλλέως.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/334 UNIVERSITÄT LEIPZIG

ἐμνημόνευϲε δ᾽ ὥϲπερ ἄνθρωποϲ κακὸϲ
παλαιὰ νείκη· πῶϲ ἂν οὖν εἴη ϲοφόϲ;

Χο. καὶ μὴν ὅδ᾽ ἄναξ ἤδη φοράδην
Δελφίδοϲ ἐκ γῆϲ δῶμα πελάζει.
τλήμων ὁ παθών, τλήμων δέ, γέρον,
καὶ ϲύ· δέχηι γὰρ τὸν Ἀχίλλειον
ϲκύμνον ἐϲ οἴκουϲ οὐχ ὡϲ ϲὺ θέλειϲ,
αὐτὸϲ δὲ κακοῖϲ
εἰϲ ἓν μοίραϲ ϲυνέκυρϲαϲ.

Πη. ὤμοι ἐγώ, κακὸν οἷον ὁρῶ τόδε [ϲτρ. α
καὶ δέχομαι χερὶ δώμαϲιν ἁμοῖϲ.
ἰώ μοί μοι, αἰαῖ·
ὦ πόλι Θεϲϲαλίαϲ, διολώλαμεν,
οἰχόμεθ᾽· οὐκέτι μοι γένοϲ, οὐ τέκνα λείπεται οἴκοιϲ.
ὦ ϲχέτλιοϲ παθέων ἐγώ· †εἰϲ τίνα
δὴ φίλον αὐγὰϲ βαλὼν τέρψομαι;†
ὦ φίλιον ϲτόμα καὶ γένυ καὶ χέρεϲ,
εἴθε ϲ᾽ ὑπ᾽ Ἰλίωι ἤναρε δαίμων
Σιμοεντίδα παρ᾽ ἀκτάν.

Χο. οὕτως ἂν ὡς ἐκ τῶνδ᾽ ἐτιμᾶτ᾽ ἄν, γέρον,
θανών, τὸ cὸν δ᾽ ἦν ὧδ᾽ ἂν εὐτυχέcτερον.

Πη. ὦ γάμος, ὦ γάμος, ὃς τάδε δώματα [ἀντ. α
καὶ πόλιν ὤλεcας ὤλεcας ἁμάν.
αἰαῖ, ἒ ἔ, ὦ παῖ·
†μήποτε cῶν λεχέων τὸ δυcώνυμον
ὤφελ᾽ ἐμὸν γένος εἰς τέκνα καὶ δόμον
ἀμφιβαλέcθαι
Ἑρμιόνας Ἀίδαν ἐπὶ coί, τέκνον,†
ἀλλὰ κεραυνῶι πρόcθεν ὀλέcθαι·
μηδ᾽ ἐπὶ τοξοcύναι φονίωι πατρὸς
αἷμα τὸ διογενές ποτε Φοῖβον
βροτὸς ἐς θεὸν ἀνάψαι.

Χο. ὀττοτοτοτοῖ, θανόντα δεcπόταν γόοις [cτρ. β
νόμωι τῶι νερτέρων κατάρξω.
Πη. ὀττοτοτοτοῖ, διάδοχά ⟨coι⟩ τάλας ἐγὼ
γέρων καὶ δυcτυχὴς δακρύω.
Χο. θεοῦ γὰρ αἶcα, θεὸς ἔκρανε cυμφοράν.
Πη. ὦ φίλος, δόμον ἔλιπες ἔρημον,

[ὤμοι μοι, ταλαίπωρον ἐμὲ]
γέροντ' ἄπαιδα νοσφίσας.
Χο. θανεῖν θανεῖν σε, πρέσβυ, χρῆν πάρος τέκνων.
Πη. οὐ σπαράξομαι κόμαν,
οὐκ ἐμῶι 'πιθήσομαι
κάραι κτύπημα χειρὸς ὀλοόν; ὦ πόλις,
διπλῶν τέκνων μ' ἐστέρησε Φοῖβος.

Χο. ὦ κακὰ παθὼν ἰδών τε δυστυχὲς γέρον, [ἀντ. β
τίν' αἰῶν' ἐς τὸ λοιπὸν ἕξεις;
Πη. ἄτεκνος ἔρημος, οὐκ ἔχων πέρας κακῶν
διαντλήσω πόνους ἐς Ἅιδαν.
Χο. μάτην δέ σ' ἐν γάμοισιν ὤλβισαν θεοί.
Πη. ἀμπτάμενα φροῦδα πάντ' ἐκεῖνα
κόμπων μεταρσίων πρόσω.
Χο. μόνος μόνοισιν ἐν δόμοις ἀναστρέφηι.
Πη. οὐκέτ' ἐστί μοι πόλις,
σκῆπτρά τ' ἐρρέτω τάδε·
σύ τ', ὦ κατ' ἄντρα νύχια Νηρέως κόρα,
πανώλεθρόν μ' ὄψεαι πίτνοντα.

*Χο.* ἰὼ ἰώ·
τί κεκίνηται, τίνοϲ αἰϲθάνομαι
θείου; κοῦραι, λεύϲϲετ' ἀθρήϲατε·
δαίμων ὅδε τιϲ λευκὴν αἰθέρα
πορθμευόμενοϲ τῶν ἱπποβότων
Φθίαϲ πεδίων ἐπιβαίνει.

ΘΕΤΙϹ

Πηλεῦ, χάριν ϲοι τῶν πάροϲ νυμφευμάτων
ἥκω Θέτιϲ λιποῦϲα Νηρέωϲ δόμουϲ.
καὶ πρῶτα μέν ϲοι τοῖϲ παρεϲτῶϲιν κακοῖϲ
μηδέν τι λίαν δυϲφορεῖν παρήινεϲα·
κἀγὼ γάρ, ἣν ἄκλαυτ' ἐχρῆν τίκτειν τέκνα,
θεὰν γεγῶϲαν καὶ θεοῦ πατρὸϲ τέκοϲ, 1254
ἀπώλεϲ' ἐκ ϲοῦ παῖδα τὸν ταχὺν πόδαϲ 1236
Ἀχιλλέα τεκοῦϲα πρῶτον Ἑλλάδοϲ.
ὧν δ' οὕνεκ' ἦλθον ϲημανῶ, ϲὺ δ' ἐνδέχου.
τὸν μὲν θανόντα τόνδ' Ἀχιλλέωϲ γόνον
θάψον πορεύϲαϲ Πυθικὴν πρὸϲ ἐϲχάραν,
Δελφοῖϲ ὄνειδοϲ, ὡϲ ἀπαγγέλληι τάφοϲ
φόνον βίαιον τῆϲ Ὀρεϲτείαϲ χερόϲ·
γυναῖκα δ' αἰχμάλωτον, Ἀνδρομάχην λέγω,
Μολοϲϲίαν γῆν χρὴ κατοικῆϲαι, γέρον,

Ἑλένωι ϲυναλλαχθεῖϲαν εὐναίοιϲ γάμοιϲ,
καὶ παῖδα τόνδε, τῶν ἀπ' Αἰακοῦ μόνον
λελειμμένον δή. βαϲιλέα δ' ἐκ τοῦδε χρὴ
ἄλλον δι' ἄλλου διαπερᾶν Μολοϲϲίαϲ
εὐδαιμονοῦνταϲ· οὐ γὰρ ὧδ' ἀνάϲτατον
γένοϲ γενέϲθαι δεῖ τὸ ϲὸν κἀμόν, γέρον,
Τροίαϲ τε· καὶ γὰρ θεοῖϲι κἀκείνηϲ μέλει,
καίπερ πεϲούϲηϲ Παλλάδοϲ προθυμίαι.
ϲὲ δ', ὡϲ ἂν εἰδῆιϲ τῆϲ ἐμῆϲ εὐνῆϲ χάριν,
κακῶν ἀπαλλάξαϲα τῶν βροτηϲίων
ἀθάνατον ἄφθιτόν τε ποιήϲω θεόν.
κἄπειτα Νηρέωϲ ἐν δόμοιϲ ἐμοῦ μέτα
τὸ λοιπὸν ἤδη θεὸϲ ϲυνοικήϲειϲ θεᾶι·
ἔνθεν κομίζων ξηρὸν ἐκ πόντου πόδα
τὸν φίλτατόν ϲοι παῖδ' ἐμοί τ' Ἀχιλλέα
ὄψηι δόμουϲ ναίοντα νηϲιωτικοὺϲ
Λευκὴν κατ' ἀκτὴν ἐντὸϲ ἀξένου πόρου.
ἀλλ' ἕρπε Δελφῶν ἐϲ θεόδμητον πόλιν
νεκρὸν κομίζων τόνδε, καὶ κρύψαϲ χθονὶ
ἐλθὼν παλαιᾶϲ χοιράδοϲ κοῖλον μυχὸν
Σηπιάδοϲ ἵζου· μίμνε δ' ἔϲτ' ἂν ἐξ ἁλὸϲ
λαβοῦϲα πεντήκοντα Νηρῄδων χορὸν
ἔλθω κομιϲτήν ϲου· τὸ γὰρ πεπρωμένον
δεῖ ϲ' ἐκκομίζειν, Ζηνὶ γὰρ δοκεῖ τάδε.
παῦϲαι δὲ λύπηϲ τῶν τεθνηκότων ὕπερ·
πᾶϲιν γὰρ ἀνθρώποιϲιν ἥδε πρὸϲ θεῶν
ψῆφοϲ κέκρανται κατθανεῖν τ' ὀφείλεται.

Πη. ὦ πότνι', ὦ γενναῖα συγκοιμήματα,
Νηρέως γένεθλον, χαῖρε· ταῦτα δ' ἀξίως
cαυτῆς τε ποιεῖς καὶ τέκνων τῶν ἐκ cέθεν.
παύω δὲ λύπην cοῦ κελευούcης, θεά,
καὶ τόνδε θάψας εἶμι Πηλίου πτυχάς,
οὗπερ cὸν εἷλον χερcὶ κάλλιστον δέμας.
[κᾆιτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεὼν
δοῦναί τ' ἐς ἐcθλούς, ὅcτις εὖ βουλεύεται,
κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν,
μηδ' εἰ ζαπλούτους οἴcεται φερνὰς δόμοις;
οὐ γάρ ποτ' ἂν πράξειαν ἐκ θεῶν κακῶς.]

Χο. πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουcι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέcθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

# *EKABH*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/342 UNIVERSITÄT LEIPZIG

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/343 UNIVERSITÄT LEIPZIG

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/344 UNIVERSITÄT LEIPZIG

## ΕΚΑΒΗ

# ΥΠΟΘΕCΙC ΕΥΡΙΠΙΔΟΥ ΕΚΑΒΗC

Μετὰ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν τῆς Τρωιάδος Χερρόνησον καθωρμίσθησαν· Ἀχιλλεὺς δὲ νυκτὸς ὁραθεὶς σφάγιον ᾔτει μίαν τῶν Πριάμου θυγατέρων. οἱ μὲν οὖν Ἕλληνες τιμῶντες τὸν ἥρωα Πολυξένην ἀποσπάσαντες Ἑκάβης ἐσφαγίασαν. Πολυμήστωρ δὲ ὁ τῶν Θραικῶν βασιλεὺς ἕνα τῶν Πριαμιδῶν Πολύδωρον ἔσφαξεν. εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ εἰς παρακαταθήκην μετὰ χρημάτων. ἁλούσης δὲ τῆς πόλεως κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον φονεύειν ὥρμησε καὶ φιλίας δυστυχούσης ὠλιγώρησεν. ἐκριφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν κλύδων πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω, κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο,

κρύπτουςα τὸ γεγονός, ὡς ἵνα θηςαυροὺς ἐν Ἰλίωι μηνύςηι αὐτῶι. παραγενομένων δὲ τοὺς μὲν υἱοὺς ἔςφαξεν, αὐτὸν δὲ τῆς ὁράςεως ἐςτέρηςεν. ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουςα τὸν κατήγορον ἐνίκηςεν· ἐκρίθη γὰρ οὐκ ἄρξαι ὠμότητος ἀλλ' ἀμύναςθαι τὸν κατάρξαντα.

## <ΑΡΙϹΤΟΦΑΝΟΥϹ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕϹΙϹ>

ἡ μὲν ςκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῆι ἀντιπέραν Τροίας Χερρονήςωι· ὁ δὲ χορὸς ςυνέςτηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων· προλογίζει δὲ εἴδωλον Πολυδώρου. τὰ περὶ τὴν Πολυξένην ἔςτι καὶ παρὰ Ϲοφοκλεῖ εὑρεῖν ἐν Πολυξένηι.

τὰ τοῦ δράματος πρόςωπα· Πολυδώρου εἴδωλον, Ἑκάβη, χορὸς αἰχμαλωτίδων γυναικῶν, Πολυξένη, Ὀδυςςεύς, Ταλθύβιος, θεράπαινα, Ἀγαμέμνων, Πολυμήςτωρ.

# ΕΚΑΒΗ

ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ

Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
λιπών, ἵν' Ἅιδης χωρὶς ὤικισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως
Πριάμου τε πατρός, ὅς μ', ἐπεὶ Φρυγῶν πόλιν
κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῶι,
δείσας ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς
Πολυμήστορος πρὸς δῶμα Θρηικίου ξένου,
ὃς τήνδ' ἀρίστην Χερσονησίαν πλάκα
σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθραι
πατήρ, ἵν', εἴ ποτ' Ἰλίου τείχη πέσοι,
τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
νεώτατος δ' ἦ Πριαμιδῶν, ὃ καί με γῆς
ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα
οὔτ' ἔγχος οἷός τ' ἦ νέωι βραχίονι.
ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα
πύργοι τ' ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονὸς
Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς εὐτύχει δορί,
καλῶς παρ' ἀνδρὶ Θρηικὶ πατρώιωι ξένωι

τροφαῖϲιν ὥϲ τιϲ πτόρθοϲ ηὐξόμην τάλαϲ·
ἐπεὶ δὲ Τροία θ' Ἕκτορόϲ τ' ἀπόλλυται
ψυχὴ πατρῴα θ' ἑϲτία κατεϲκάφη
αὐτόϲ τε βωμῶι πρὸϲ θεοδμήτωι πίτνει
ϲφαγεὶϲ Ἀχιλλέωϲ παιδὸϲ ἐκ μιαιφόνου,
κτείνει με χρυϲοῦ τὸν ταλαίπωρον χάριν
ξένοϲ πατρῷοϲ καὶ κτανὼν ἐϲ οἶδμ' ἁλὸϲ
μεθῆχ', ἵν' αὐτὸϲ χρυϲὸν ἐν δόμοιϲ ἔχηι.
κεῖμαι δ' ἐπ' ἀκταῖϲ, ἄλλοτ' ἐν πόντου ϲάλωι,
πολλοῖϲ διαύλοιϲ κυμάτων φορούμενοϲ,
ἄκλαυτοϲ ἄταφοϲ· νῦν δ' ὑπὲρ μητρὸϲ φίληϲ
Ἑκάβηϲ ἀίϲϲω, ϲῶμ' ἐρημώϲαϲ ἐμόν,
τριταῖον ἤδη φέγγοϲ αἰωρούμενοϲ,
ὅϲονπερ ἐν γῆι τῆιδε Χερϲονηϲίαι
μήτηρ ἐμὴ δύϲτηνοϲ ἐκ Τροίαϲ πάρα.
πάντεϲ δ' Ἀχαιοὶ ναῦϲ ἔχοντεϲ ἥϲυχοι
θάϲϲουϲ' ἐπ' ἀκταῖϲ τῆϲδε Θρηικίαϲ χθονόϲ.
ὁ Πηλέωϲ γὰρ παῖϲ ὑπὲρ τύμβου φανεὶϲ
κατέϲχ' Ἀχιλλεὺϲ πᾶν ϲτράτευμ' Ἑλληνικόν,
πρὸϲ οἶκον εὐθύνονταϲ ἐναλίαν πλάτην·
αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
τύμβωι φίλον πρόϲφαγμα καὶ γέραϲ λαβεῖν.
καὶ τεύξεται τοῦδ' οὐδ' ἀδώρητοϲ φίλων
ἔϲται πρὸϲ ἀνδρῶν· ἡ πεπρωμένη δ' ἄγει

θανεῖν ἀδελφὴν τῶιδ' ἐμὴν ἐν ἤματι.
δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
μήτηρ, ἐμοῦ τε τῆς τε δυστήνου κόρης.
φανήσομαι γάρ, ὡς τάφου τλήμων τύχω,
δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίωι.
τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
τύμβου κυρῆσαι κἀς χέρας μητρὸς πεσεῖν.
τοὐμὸν μὲν οὖν ὅσονπερ ἤθελον τυχεῖν
ἔσται· γεραιᾶι δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβηι· περᾶι γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.
φεῦ·
ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
δούλειον ἦμαρ εἶδες, ὡς πράσσεις κακῶς
ὅσονπερ εὖ ποτ'· ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

ΕΚΑΒΗ

ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον,
Τρωιάδες, ὑμῖν, πρόσθε δ' ἄνασσαν,

[λάβετε φέρετε πέμπετ' ἀείρετέ μου]
γεραιᾶς χειρὸς προςλαζύμεναι·
κἀγὼ σκολιῶι σκίπωνι χερὸς
διερειδομένη σπεύσω βραδύπουν
ἤλυσιν ἄρθρων προτιθεῖσα.

ὦ στεροπὰ Διός, ὦ σκοτία νύξ,
τί ποτ' αἴρομαι ἔννυχος οὕτω
δείμασι φάσμασιν; ὦ πότνια Χθών,
μελανοπτερύγων μᾶτερ ὀνείρων,
ἀποπέμπομαι ἔννυχον ὄψιν
[ἣν περὶ παιδὸς ἐμοῦ τοῦ σωιζομένου κατὰ Θρήικην
ἀμφὶ Πολυξείνης τε φίλης θυγατρὸς δι' ὀνείρων
†εἶδον γὰρ φοβερὰν ὄψιν ἔμαθον ἐδάην†].

ὦ χθόνιοι θεοί, σώσατε παῖδ' ἐμόν,
ὃς μόνος οἴκων ἄγκυρ' ἔτ' ἐμῶν
τὴν χιονώδη Θρήικην κατέχει
ξείνου πατρίου φυλακαῖσιν.

ἔςται τι νέον·
ἥξει τι μέλος γοερὸν γοεραῖς.
οὔποτ᾽ ἐμὰ φρὴν ὧδ᾽ ἀλίαστον
φρίςςει ταρβεῖ.
ποῦ ποτε θείαν Ἑλένου ψυχὰν
καὶ Καςςάνδραν ἐςίδω, Τρῳάδες,
ὥς μοι κρίνωςιν ὀνείρους;

[εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾶι
ςφαζομέναν, ἀπ᾽ ἐμῶν γονάτων ςπαςθεῖςαν ἀνοίκτως.
καὶ τόδε δεῖμά μοι·
ἦλθ᾽ ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
φάντακμ᾽ Ἀχιλέως· ἤιτει δὲ γέρας
τῶν πολυμόχθων τινὰ Τρωϊάδων.
ἀπ᾽ ἐμᾶς οὖν ἀπ᾽ ἐμᾶς τόδε παιδὸς
πέμψατε, δαίμονες, ἱκετεύω.]

ΧΟΡΟϹ

Ἑκάβη, ςπουδῆι πρὸς ς᾽ ἐλιάςθην
τὰς δεςποςύνους ςκηνὰς προλιποῦς᾽,

ἵν' ἐκληρώθην καὶ προcετάχθην
δούλη, πόλεωc ἀπελαυνομένη
τῆc Ἰλιάδοc, λόγχηc αἰχμῆι
δοριθήρατοc πρὸc Ἀχαιῶν,
οὐδὲν παθέων ἀποκουφίζουc'
ἀλλ' ἀγγελίαc βάροc ἀραμένη
μέγα coί τε, γύναι, κῆρυξ ἀχέων.
ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδωι
λέγεται δόξαι cὴν παῖδ' Ἀχιλεῖ
cφάγιον θέcθαι. τύμβου δ' ἐπιβὰc
οἶcθ' ὅτε χρυcέοιc ἐφάνη cὺν ὅπλοιc,
τὰc ποντοπόρουc δ' ἔcχε cχεδίαc
λαίφη προτόνοιc ἐπερειδομέναc,
τάδε θωΰccων· Ποῖ δή, Δαναοί,
τὸν ἐμὸν τύμβον
cτέλλεcθ' ἀγέραcτον ἀφέντεc;
πολλῆc δ' ἔριδοc cυνέπαιcε κλύδων,
δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
cτρατὸν αἰχμητήν, τοῖc μὲν διδόναι
τύμβωι cφάγιον, τοῖc δ' οὐχὶ δοκοῦν.
ἦν δὲ τὸ μὲν cὸν cπεύδων ἀγαθὸν
τῆc μαντιπόλου Βάκχηc ἀνέχων
λέκτρ' Ἀγαμέμνων· τὼ Θηcείδα δ',
ὄζω Ἀθηνῶν, διccῶν μύθων
ῥήτορεc ἦcαν, γνώμηι δὲ μιᾶι
cυνεχωρείτην τὸν Ἀχίλλειον
τύμβον cτεφανοῦν αἵματι χλωρῶι,
τὰ δὲ Καccάνδραc λέκτρ' οὐκ ἐφάτην

τῆς Ἀχιλείας
πρόσθεν θήσειν ποτὲ λόγχης.
σπουδαὶ δὲ λόγων κατατεινομένων
ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων
κόπις ἡδυλόγος δημοχαριστὴς
Λαερτιάδης πείθει στρατιὰν
μὴ τὸν ἄριστον Δαναῶν πάντων
δούλων σφαγίων οὕνεκ' ἀπωθεῖν,
μηδέ τιν' εἰπεῖν παρὰ Φερσεφόνηι
στάντα φθιμένων ὡς ἀχάριστοι
Δαναοὶ Δαναοῖς τοῖς οἰχομένοις
ὑπὲρ Ἑλλήνων
Τροίας πεδίων ἀπέβησαν.
ἥξει δ' Ὀδυσεὺς ὅσον οὐκ ἤδη
πῶλον ἀφέλξων σῶν ἀπὸ μαστῶν
ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων.
ἀλλ' ἴθι ναούς, ἴθι πρὸς βωμούς,
[ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων,]
κήρυσσε θεοὺς τούς τ' οὐρανίδας
τούς θ' ὑπὸ γαίας. ἢ γάρ σε λιταὶ
διακωλύσους' ὀρφανὸν εἶναι
παιδὸς μελέας ἢ δεῖ σ' ἐπιδεῖν
τύμβωι προπετῆ φοινισσομένην
αἵματι παρθένον ἐκ χρυσοφόρου
δειρῆς νασμῶι μελαναυγεῖ.

Εκ. οἲ ἐγὼ μελέα, τί ποτ᾽ ἀπύσω; [στρ.
ποίαν ἀχώ, ποῖον ὀδυρμόν,
δειλαία δειλαίου γήρως
⟨καὶ⟩ δουλείας τᾶς οὐ τλατᾶς,
τᾶς οὐ φερτᾶς; ὤμοι μοι.
τίς ἀμύνει μοι; ποία γενεά,
ποία δὲ πόλις; φροῦδος πρέσβυς,
φροῦδοι παῖδες.
ποίαν ἢ ταύταν ἢ κείναν
στείχω; ποῖ δὴ σωθῶ; ποῦ τις
θεῶν ἢ δαίμων ἐπαρωγός;
ὤ κάκ᾽ ἐνεγκοῦσαι
Τρῳάδες, ὤ κάκ᾽ ἐνεγκοῦσαι
πήματ᾽, ἀπωλέσατ᾽ ὠλέσατ᾽· οὐκέτι μοι βίος
ἀγαστὸς ἐν φάει.

ὦ τλάμων ἄγηcαί μοι πούς,
ἄγηcαι τᾶι γηραιᾶι
πρὸς τάνδ' αὐλάν. ὦ τέκνον, ὦ παῖ
†δυcτανοτάτας ματέρος, ἔξελθ'
ἔξελθ' οἴκων, ἄιε ματέρος αὐδάν.†

ἰὼ τέκνον [ὡς εἰδῆις οἵαν οἵαν
ἀίω φάμαν περὶ cᾶc ψυχᾶc].

ΠΟΛΥΞΕΝΗ

μᾶτερ μᾶτερ, τί βοᾶις; τί νέον
καρύξας' οἴκων μ' ὥcτ' ὄρνιν
θάμβει τῶιδ' ἐξέπταξας;
Εκ. οἴμοι τέκνον.
Πο. τί με δυcφημεῖc; φροίμιά μοι κακά.
Εκ. αἰαῖ cᾶc ψυχᾶc.
Πο. ἐξαύδα· μὴ κρύψηις δαρόν.
δειμαίνω δειμαίνω, μᾶτερ,
τί ποτ' ἀναcτένειc.

Εκ. τέκνον τέκνον μελέας ματρός...
Πο. τί τόδ' ἀγγέλλεις;
Εκ. cφάξαι c' Ἀργείων κοινὰ
cυντείνει πρὸc τύμβον γνώμα
Πηλείαι γένναι.
Πο. οἴμοι, μᾶτερ, πῶc φθέγγηι;
ἀμέγαρτα κακῶν μάνυcόν μοι,
μάνυcον, μᾶτερ.
Εκ. αὐδῶ, παῖ, δυcφήμουc φήμαc,
ἀγγέλλουc' Ἀργείων δόξαι
ψήφωι τᾶc cᾶc περὶ μοίραc.

Πο. ὦ δεινὰ παθοῦc', ὦ παντλάμων, [ἀντ.
ὦ δυcτάνου, μᾶτερ, βιοτᾶc,
οἵαν οἵαν αὖ coι λώβαν
†ἐχθίcταν ἀρρήταν τ'
ὦρcέν τιc δαίμων†.
οὐκέτι coι παῖc ἅδ' οὐκέτι δὴ

γήραι δειλαία δειλαίωι
συνδουλεύσω.
σκύμνον γάρ μ' ὥστ' οὐριθρέπταν
μόσχον δειλαία δειλαίαν
⟨ ⟩ ἐσόψηι
χειρὸς ἀναρπαστὰν
σᾶς ἄπο λαιμότομόν θ' Ἄιδαι
γᾶς ὑποπεμπομέναν σκότον, ἔνθα νεκρῶν μέτα
τάλαινα κείσομαι.

[καὶ σοῦ μέν, μᾶτερ, δυστάνου
κλαίω πανδύρτοις θρήνοις,
τὸν ἐμὸν δὲ βίον λώβαν λύμαν τ'
οὐ μετακλαίομαι, ἀλλὰ θανεῖν μοι
ξυντυχία κρείσσων ἐκύρησεν.]

Χο. καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῆι ποδός,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.

ΟΔΥΣΣΕΥΣ

γύναι, δοκῶ μέν σ' εἰδέναι γνώμην στρατοῦ
ψῆφόν τε τὴν κρανθεῖσαν· ἀλλ' ὅμως φράσω.
ἔδοξ' Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου.
ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
τάσσουσιν εἶναι· θύματος δ' ἐπιστάτης
ἱερεύς τ' ἐπέσται τοῦδε παῖς Ἀχιλλέως.
οἶσθ' οὖν ὃ δρᾶσον· μήτ' ἀποσπασθῇς βίαι
μήτ' ἐς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί,
γίγνωσκε δ' ἀλκὴν καὶ παρουσίαν κακῶν
τῶν σῶν· σοφόν τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν.

Εκ. αἰαῖ· παρέστηχ', ὡς ἔοικ', ἀγὼν μέγας,
πλήρης στεναγμῶν οὐδὲ δακρύων κενός.
κἄγωγ' ἄρ' οὐκ ἔθνῃσκον οὗ μ' ἐχρῆν θανεῖν,
οὐδ' ὤλεσέν με Ζεύς, τρέφει δ' ὅπως ὁρῶ
κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
εἰ δ' ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
μὴ λυπρὰ μηδὲ καρδίας δηκτήρια
ἐξιστορῆσαι, †σοὶ μὲν εἰρῆσθαι† χρεών,
ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.

Οδ. ἔξεστ', ἐρώτα· τοῦ χρόνου γὰρ οὐ φθονῶ.

Εκ. οἶσθ' ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος
δυσχλαινίαι τ' ἄμορφος ὀμμάτων τ' ἄπο
φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;

Οδ. οἶδ᾽· οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
Εκ. ἔγνω δέ ϲ᾽ Ἑλένη καὶ μόνηι κατεῖπ᾽ ἐμοί;
Οδ. μεμνήμεθ᾽ ἐς κίνδυνον ἐλθόντες μέγαν.
Εκ. ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
Οδ. ὥϲτ᾽ ἐνθανεῖν γε ϲοῖς πέπλοιϲι χεῖρ᾽ ἐμήν. 246
Εκ. τί δῆτ᾽ ἔλεξας δοῦλος ὢν ἐμὸς τότε; 249
Οδ. πολλῶν λόγων εὑρήμαθ᾽ ὥϲτε μὴ θανεῖν. 250
Εκ. ἔϲωϲα δῆτά ϲ᾽ ἐξέπεμψά τε χθονός; 247
Οδ. ὥϲτ᾽ εἰϲορᾶν γε φέγγος ἡλίου τόδε. 248
Εκ. οὔκουν κακύνηι τοῖϲδε τοῖς βουλεύμαϲιν, 251
ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες οἷα φῂς παθεῖν,
δρᾷς δ᾽ οὐδὲν ἡμᾶς εὖ, κακῶς δ᾽ ὅϲον δύναι;
ἀχάριϲτον ὑμῶν ϲπέρμ᾽, ὅϲοι δημηγόρους
ζηλοῦτε τιμάς· μηδὲ γιγνώϲκοιϲθέ μοι,
οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
ἢν τοῖϲι πολλοῖς πρὸς χάριν λέγητέ τι.
ἀτὰρ τί δὴ ϲόφιϲμα τοῦθ᾽ ἡγούμενοι
ἐς τήνδε παῖδα ψῆφον ὥριϲαν φόνου;
πότερα τὸ χρή ϲφ᾽ ἐπήγαγ᾽ ἀνθρωποϲφαγεῖν
πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων
ἐς τήνδ᾽ Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;

ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρῆν τάφωι προσφάγματα·
κείνη γὰρ ὤλεσέν νιν ἐς Τροίαν τ' ἄγει.
εἰ δ' αἰχμαλώτων χρή τιν' ἔκκριτον θανεῖν
κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε·
ἡ Τυνδαρὶς γὰρ εἶδος ἐκπρεπεστάτη,
ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧσσον ηὑρέθη.
τῶι μὲν δικαίωι τόνδ' ἁμιλλῶμαι λόγον·
ἃ δ' ἀντιδοῦναι δεῖ σ' ἀπαιτούσης ἐμοῦ
ἄκουσον. ἥψω τῆς ἐμῆς, ὡς φῄς, χερὸς
καὶ τῆσδε γραίας προσπίτνων παρηίδος·
ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ
χάριν τ' ἀπαιτῶ τὴν τόθ' ἱκετεύω τέ σε,
μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς
μηδὲ κτάνητε· τῶν τεθνηκότων ἅλις.
ταύτηι γέγηθα κἀπιλήθομαι κακῶν·
ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχή,
πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεὼν
οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί·
κἀγὼ γὰρ ἦ ποτ' ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι,

τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.
ἀλλ', ὦ φίλον γένειον, αἰδέcθητί με,
οἴκτιρον· ἐλθὼν δ' εἰc Ἀχαιικὸν cτρατὸν
παρηγόρηcον ὡc ἀποκτείνειν φθόνοc
γυναῖκαc, ἃc τὸ πρῶτον οὐκ ἐκτείνατε
βωμῶν ἀποcπάcαντεc ἀλλ' ᾠκτίρατε.
νόμοc δ' ἐν ὑμῖν τοῖc τ' ἐλευθέροιc ἴcοc
καὶ τοῖcι δούλοιc αἵματοc κεῖται πέρι.
τὸ δ' ἀξίωμα, κἂν κακῶc λέγηιc, τὸ cὸν
πείcει· λόγοc γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν
κἀκ τῶν δοκούντων αὑτὸc οὐ ταὐτὸν cθένει.

*Χο.* οὐκ ἔcτιν οὕτω cτερρὸc ἀνθρώπου φύcιc
ἥτιc γόων cῶν καὶ μακρῶν ὀδυρμάτων
κλύουcα θρήνουc οὐκ ἂν ἐκβάλοι δάκρυ.

*Οδ.* Ἑκάβη, διδάcκου, μηδὲ τῶι θυμουμένωι
τὸν εὖ λέγοντα δυcμενῆ ποιοῦ φρενόc.
ἐγὼ τὸ μὲν cὸν cῶμ' ὑφ' οὗπερ εὐτύχουν
cώιζειν ἕτοιμόc εἰμι κοὐκ ἄλλωc λέγω·

ἃ δ' εἶπον εἰς ἅπαντας οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης ἀνδρὶ τῶι πρώτωι στρατοῦ
σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένωι.
ἐν τῶιδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
μηδὲν φέρηται τῶν κακιόνων πλέον.
ἡμῖν δ' Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ' ἀνήρ.
οὔκουν τόδ' αἰσχρόν, εἰ βλέποντι μὲν φίλωι
χρώμεσθ', ἐπεὶ δ' ὄλωλε μὴ χρώμεσθ' ἔτι;
εἶέν· τί δῆτ' ἐρεῖ τις, ἤν τις αὖ φανῆι
στρατοῦ τ' ἄθροισις πολεμίων τ' ἀγωνία;
πότερα μαχούμεθ' ἢ φιλοψυχήσομεν,
τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν
κεἰ σμίκρ' ἔχοιμι πάντ' ἂν ἀρκούντως ἔχοι·
τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις.
εἰ δ' οἰκτρὰ πάσχειν φής, τάδ' ἀντάκουέ μου·
εἰσὶν παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
γραῖαι γυναῖκες ἠδὲ πρεσβῦται σέθεν,
νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,
ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
τόλμα τάδ'. ἡμεῖς δ', εἰ κακῶς νομίζομεν
τιμᾶν τὸν ἐσθλόν, ἀμαθίαν ὀφλήσομεν·
οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
ἡγεῖσθε μήτε τοὺς καλῶς τεθνηκότας

θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῆι,
ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.
Χο. αἰαῖ· τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ
τολμᾶι θ' ἃ μὴ χρή, τῆι βίαι νικώμενον.
Εκ. ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα
φροῦδοι μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου·
cὺ δ', εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,
σπούδαζε πάσας ὥστ' ἀηδόνος στόμα
φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ
καὶ πεῖθ' (ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
καὶ τῶιδε) τὴν σὴν ὥστ' ἐποικτῖραι τύχην.
Πο. ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος
κρύπτοντα χεῖρα καὶ πρόσωπον ἔμπαλιν
στρέφοντα, μή σου προσθίγω γενειάδος.
θάρσει· πέφευγας τὸν ἐμὸν Ἱκέσιον Δία·
ὡς ἕψομαί γε τοῦ τ' ἀναγκαίου χάριν
θανεῖν τε χρήιζουσ'· εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
τί γάρ με δεῖ ζῆν; ἧι πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων· τοῦτό μοι πρῶτον βίου.
ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο

βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
ἔχους', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι.
δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦ,
γυναιξὶ παρθένοις τ' ἀπόβλεπτος μέτα,
ἴση θεοῖσι πλὴν τὸ κατθανεῖν μόνον.
νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
θανεῖν ἐρᾶν τίθησιν οὐκ εἰωθὸς ὄν·
ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
τύχοιμ' ἄν, ὅστις ἀργύρου μ' ὠνήσεται,
τὴν Ἕκτορός τε χἀτέρων πολλῶν κάσιν,
προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις
σαίρειν τε δῶμα κερκίσιν τ' ἐφεστάναι
λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει·
λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλευθέρων
φέγγος τόδ', Ἅιδηι προστιθεῖς' ἐμὸν δέμας.
ἄγ' οὖν μ', Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων·
οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ
θάρσος παρ' ἡμῖν ὥς ποτ' εὖ πρᾶξαί με χρή.
μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένηι
λέγουσα μηδὲ δρῶσα, συμβούλου δέ μοι
θανεῖν πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.

ὅςτις γὰρ οὐκ εἴωθε γεύεςθαι κακῶν
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῶι·
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέςτερος
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

*Χο.* δεινὸς χαρακτὴρ κἀπίςημος ἐν βροτοῖς
ἐςθλῶν γενέςθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας ὄνομα τοῖςιν ἀξίοις.

*Εκ.* καλῶς μὲν εἶπας, θύγατερ, ἀλλὰ τῶι καλῶι
λύπη πρόςεςτιν. εἰ δὲ δεῖ τῶι Πηλέως
χάριν γενέςθαι παιδὶ καὶ ψόγον φυγεῖν
ὑμᾶς, Ὀδυςςεῦ, τήνδε μὲν μὴ κτείνετε,
ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως
κεντεῖτε, μὴ φείδεςθ'· ἐγὼ 'τεκον Πάριν,
ὃς παῖδα Θέτιδος ὤλεςεν τόξοις βαλών.

*Οδ.* οὐ ς', ὦ γεραιά, κατθανεῖν Ἀχιλλέως
φάντας μ' Ἀχαιοὺς ἀλλὰ τήνδ' ᾐτήςατο.

*Εκ.* ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ ςυμφονεύςατε,
καὶ δὶς τόςον πῶμ' αἵματος γενήςεται
γαίαι νεκρῶι τε τῶι τάδ' ἐξαιτουμένωι.

*Οδ.* ἅλις κόρης ςῆς θάνατος, οὐ προςοιςτέος
ἄλλος πρὸς ἄλλωι· μηδὲ τόνδ' ὠφείλομεν.

*Εκ.* πολλή γ' ἀνάγκη θυγατρὶ ςυνθανεῖν ἐμέ.

*Οδ.* πῶς; οὐ γὰρ οἶδα δεςπότας κεκτημένος.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/365 UNIVERSITÄT LEIPZIG

| | |
|---|---|
| *Εκ.* | ὅμοια· κιccὸc δρυὸc ὅπωc τῆcδ' ἕξομαι. |
| *Οδ.* | οὔκ, ἤν γε πείθηι τοῖcι coῦ coφωτέροιc. |
| *Εκ.* | ὡc τῆcδ' ἑκοῦcα παιδὸc οὐ μεθήcομαι. |
| *Οδ.* | ἀλλ' οὐδ' ἐγὼ μὴν τήνδ' ἄπειμ' αὐτοῦ λιπών. |
| *Πο.* | μῆτερ, πιθοῦ μοι· καὶ cύ, παῖ Λαερτίου, |
| | χάλα τοκεῦcιν εἰκότωc θυμουμένοιc, |
| | cύ τ', ὦ τάλαινα, τοῖc κρατοῦcι μὴ μάχου. |
| | βούληι πεcεῖν πρὸc οὖδαc ἑλκῶcαί τε cὸν |
| | γέροντα χρῶτα πρὸc βίαν ὠθουμένη |
| | ἀcχημονῆcαί τ' ἐκ νέου βραχίονοc |
| | cπαcθεῖc', ἃ πείcηι; μὴ cύ γ'· οὐ γὰρ ἄξιον. |
| | ἀλλ', ὦ φίλη μοι μῆτερ, ἡδίcτην χέρα |
| | δὸc καὶ παρειὰν προcβαλεῖν παρηίδι· |
| | ὡc οὔποτ' αὖθιc ἀλλὰ νῦν πανύcτατον |
| | ἀκτῖνα κύκλον θ' ἡλίου προcόψομαι. |
| | τέλοc δέχηι δὴ τῶν ἐμῶν προcφθεγμάτων· |
| | ὦ μῆτερ ὦ τεκοῦc', ἄπειμι δὴ κάτω. 414 |
| *Εκ.* | οἰκτρὰ cύ, τέκνον, ἀθλία δ' ἐγὼ γυνή. 417 |
| *Πο.* | ἐκεῖ δ' ἐν Ἅιδου κείcομαι χωρὶc cέθεν. 418 |
| *Εκ.* | οἴμοι· τί δράcω; ποῖ τελευτήcω βίον; 419 |
| *Πο.* | δούλη θανοῦμαι, πατρὸc οὖc' ἐλευθέρου... 420 |
| *Εκ.* | ὦ θύγατερ, ἡμεῖc δ' ἐν φάει δουλεύcομεν. 415 |
| *Πο.* | ἄνυμφοc ἀνυμέναιοc ὧν μ' ἐχρῆν τυχεῖν. 416 |
| *Εκ.* | ἡμεῖc δὲ πεντήκοντά γ' ἄμμοροι τέκνων. 421 |



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/366 UNIVERSITÄT LEIPZIG

Πο. τί coι πρὸc Ἕκτορ᾽ ἢ γέροντ᾽ εἴπω πόcιν;
Εκ. ἄγγελλε παcῶν ἀθλιωτάτην ἐμέ.
Πο. ὦ cτέρνα μαcτοί θ᾽, οἵ μ᾽ ἐθρέψαθ᾽ ἡδέωc.
Εκ. ὦ τῆc ἀώρου θύγατερ ἀθλία τύχηc.
Πο. χαῖρ᾽, ὦ τεκοῦcα, χαῖρε Καccάνδρα τέ μοι...
Εκ. χαίρουcιν ἄλλοι, μητρὶ δ᾽ οὐκ ἔcτιν τόδε.
Πο. ὅ τ᾽ ἐν φιλίπποιc Θρῃξὶ Πολύδωροc κάcιc.
Εκ. εἰ ζῆι γ᾽· ἀπιcτῶ δ᾽· ὧδε πάντα δυcτυχῶ.
Πο. ζῆι καὶ θανούcηc ὄμμα cυγκλῄcει τὸ cόν.
Εκ. τέθνηκ᾽ ἔγωγε πρὶν θανεῖν κακῶν ὕπο.
Πο. κόμιζ᾽, Ὀδυccεῦ, μ᾽ ἀμφιθεὶc κάραι πέπλουc,
ὡc πρὶν cφαγῆναί γ᾽ ἐκτέτηκα καρδίαν
θρήνοιcι μητρὸc τήνδε τ᾽ ἐκτήκω γόοιc.
ὦ φῶc· προcειπεῖν γὰρ cὸν ὄνομ᾽ ἔξεcτί μοι,
μέτεcτι δ᾽ οὐδὲν πλὴν ὅcον χρόνον ξίφουc
βαίνω μεταξὺ καὶ πυρᾶc Ἀχιλλέωc.
Εκ. οἲ 'γώ, προλείπω, λύεται δέ μου μέλη.
ὦ θύγατερ, ἅψαι μητρόc, ἔκτεινον χέρα,
δόc, μὴ λίπηιc μ᾽ ἄπαιδ᾽. ἀπωλόμην, φίλαι.
[ὡc τὴν Λάκαιναν cύγγονον Διοcκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων
αἴcχιcτα Τροίαν εἷλε τὴν εὐδαίμονα.]

Χο. αὔρα, ποντιὰϲ αὔρα, [ϲτρ. α
ἅτε ποντοπόρουϲ κομί-
ζειϲ θοὰϲ ἀκάτουϲ ἐπ᾽ οἶδμα λίμναϲ,
ποῖ με τὰν μελέαν πορεύ-
ϲειϲ; τῶι δουλόϲυνοϲ πρὸϲ οἶ-
κον κτηθεῖϲ᾽ ἀφίξομαι; ἢ
Δωρίδοϲ ὅρμον αἴαϲ,
ἢ Φθιάδοϲ ἔνθα τὸν
καλλίϲτων ὑδάτων πατέρα
φαϲὶν Ἀπιδανὸν πεδία λιπαίνειν,

ἢ νάϲων, ἁλιήρει [ἀντ. α
κώπαι πεμπομέναν τάλαι-
ναν, οἰκτρὰν βιοτὰν ἔχουϲαν οἴκοιϲ,
ἔνθα πρωτόγονόϲ τε φοῖ-
νιξ δάφνα θ᾽ ἱεροὺϲ ἀνέ-
ϲχε πτόρθουϲ Λατοῖ φίλον ὠ-
δῖνοϲ ἄγαλμα Δίαϲ;
ϲὺν Δηλιάϲιν τε κού-
ραιϲιν Ἀρτέμιδοϲ θεᾶϲ
χρυϲέαν τ᾽ ἄμπυκα τόξα τ᾽ εὐλογήϲω;

ἢ Παλλάδοϲ ἐν πόλει [ϲτρ. β
τὰϲ καλλιδίφρουϲ Ἀθα-
ναίαϲ ἐν κροκέωι πέπλωι

ζεύξομαι ἆρα πώ-
λους ἐν δαιδαλέαισι ποι-
κίλλους᾽ ἀνθοκρόκοισι πή-
ναις ἢ Τιτάνων γενεάν,
τὰν Ζεὺς ἀμφιπύρωι κοιμί-
ζει φλογμῶι Κρονίδας;

ὤμοι τεκέων ἐμῶν, [ἀντ. β
ὤμοι πατέρων χθονός θ᾽,
ἃ καπνῶι κατερείπεται
τυφομένα δορί-
κτητος Ἀργείων· ἐγὼ
δ᾽ ἐν ξείναι χθονὶ δὴ κέκλη-
μαι δούλα, λιποῦσ᾽ Ἀσίαν,
Εὐρώπας θεραπνᾶν ἀλλά-
ξασ᾽ Ἅιδα θαλάμους.

ΤΑΛΘΥΒΙΟΣ

ποῦ τὴν ἄνασσαν δή ποτ᾽ οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι, Τρωιάδες κόραι;

Χο. αὕτη πέλας σοῦ νῶτ᾽ ἔχουσ᾽ ἐπὶ χθονί,
Ταλθύβιε, κεῖται συγκεκλῃμένη πέπλοις.

Τα. ὦ Ζεῦ, τί λέξω; πότερά ϲ' ἀνθρώπουϲ ὁρᾶν
ἢ δόξαν ἄλλωϲ τήνδε κεκτῆϲθαι μάτην
[ψευδῆ, δοκοῦνταϲ δαιμόνων εἶναι γένοϲ],
τύχην δὲ πάντα τὰν βροτοῖϲ ἐπιϲκοπεῖν;
οὐχ ἥδ' ἄναϲϲα τῶν πολυχρύϲων Φρυγῶν,
οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
καὶ νῦν πόλιϲ μὲν πᾶϲ' ἀνέϲτηκεν δορί,
αὐτὴ δὲ δούλη γραῦϲ ἄπαιϲ ἐπὶ χθονὶ
κεῖται, κόνει φύρουϲα δύϲτηνον κάρα.
φεῦ φεῦ· γέρων μέν εἰμ', ὅμωϲ δέ μοι θανεῖν
εἴη πρὶν αἰϲχρᾶι περιπεϲεῖν τύχηι τινί.
ἀνίϲταϲ', ὦ δύϲτηνε, καὶ μετάρϲιον
πλευρὰν ἔπαιρε καὶ τὸ πάλλευκον κάρα.

Εκ. ἔα· τίϲ οὗτοϲ ϲῶμα τοὐμὸν οὐκ ἐᾶι
κεῖϲθαι; τί κινεῖϲ μ', ὅϲτιϲ εἶ, λυπουμένην;

Τα. Ταλθύβιοϲ ἥκω, Δαναϊδῶν ὑπηρέτηϲ
['Αγαμέμνονοϲ πέμψαντοϲ, ὦ γύναι, μέτα].

Εκ. ὦ φίλτατ', ἆρα κἄμ' ἐπιϲφάξαι τάφωι
δοκοῦν 'Αχαιοῖϲ ἦλθεϲ; ὡϲ φίλ' ἂν λέγοιϲ.
ϲπεύδωμεν, ἐγκονῶμεν· ἡγοῦ μοι, γέρον.

Τα. ϲὴν παῖδα κατθανοῦϲαν ὡϲ θάψηιϲ, γύναι,
ἥκω μεταϲτείχων ϲε· πέμπουϲιν δέ με
διϲϲοί τ' 'Ατρεῖδαι καὶ λεὼϲ 'Αχαιικόϲ.

Εκ. οἴμοι, τί λέξειϲ; οὐκ ἄρ' ὡϲ θανουμένουϲ
μετῆλθεϲ ἡμᾶϲ ἀλλὰ ϲημανῶν κακά;
ὄλωλαϲ, ὦ παῖ, μητρὸϲ ἁρπαϲθεῖϲ' ἄπο,
ἡμεῖϲ δ' ἄτεκνοι τοὐπὶ ϲ'· ὦ τάλαιν' ἐγώ.
πῶϲ καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι;

ἢ πρὸς τὸ δεινὸν ἤλθεθ' ὡς ἐχθράν, γέρον,
κτείνοντες; εἰπέ, καίπερ οὐ λέξων φίλα.
Τα. διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
cῆc παιδὸς οἴκτωι· νῦν τε γὰρ λέγων κακὰ
τέγξω τόδ' ὄμμα πρὸς τάφωι θ' ὅτ' ὤλλυτο.
παρῆν μὲν ὄχλος πᾶς Ἀχαιικοῦ στρατοῦ
πλήρης πρὸ τύμβου cῆc κόρης ἐπὶ cφαγάς,
λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς
ἔστης' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ·
λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
cκίρτημα μόcχου cῆc καθέξοντες χεροῖν,
ἕcποντο. πλήρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυcον αἴρει χειρὶ παῖς Ἀχιλλέως
χοὰς θανόντι πατρί· cημαίνει δέ μοι
cιγὴν Ἀχαιῶν παντὶ κηρῦξαι στρατῶι.
κἀγὼ καταστὰς εἶπον ἐν μέσοις τάδε·
Cιγᾶτ', Ἀχαιοί, cῖγα πᾶς ἔστω λεώς,
cίγα cιώπα. νήνεμον δ' ἔστης' ὄχλον.
ὁ δ' εἶπεν· Ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός,
δέξαι χοάς μοι τάσδε κηλητηρίους,
νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ' ὅ coι δωρούμεθα
στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ
λῦσαί τε πρύμνας καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν †πρευμενοῦς† τ' ἀπ' Ἰλίου

νόστου τυχόντας πάντας ἐς πάτραν μολεῖν.
τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπηύξατο στρατός.
εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν
ἐξεῖλκε κολεοῦ, λογάσι δ' Ἀργείων στρατοῦ
νεανίαις ἔνευσε παρθένον λαβεῖν.
ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
ἑκοῦσα θνῄσκω· μή τις ἅψηται χροὸς
τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν, μεθέντες κτείνατ'· ἐν νεκροῖσι γὰρ
δούλη κεκλῆσθαι βασιλὶς οὖσ' αἰσχύνομαι.
λαοὶ δ' ἐπερρόθησαν Ἀγαμέμνων τ' ἄναξ
εἶπεν μεθεῖναι παρθένον νεανίαις.
[οἱ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.]
κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
ἔρρηξε λαγόνας ἐς μέσας παρ' ὀμφαλὸν
μαστούς τ' ἔδειξε στέρνα θ' ὡς ἀγάλματος
κάλλιστα, καὶ καθεῖσα πρὸς γαῖαν γόνυ
ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδού, τόδ', εἰ μὲν στέρνον, ὦ νεανία,

παίειν προθυμῆι, παῖϲον, εἰ δ᾽ ὑπ᾽ αὐχένα
χρήιζειϲ πάρεϲτι λαιμὸϲ εὐτρεπὴϲ ὅδε.
ὁ δ᾽ οὐ θέλων τε καὶ θέλων οἴκτωι κόρηϲ
τέμνει ϲιδήρωι πνεύματοϲ διαρροάϲ·
κρουνοὶ δ᾽ ἐχώρουν. ἡ δὲ καὶ θνήιϲκουϲ᾽ ὅμωϲ
πολλὴν πρόνοιαν εἶχεν εὐϲχήμων πεϲεῖν,
κρύπτουϲ᾽ ἃ κρύπτειν ὄμματ᾽ ἀρϲένων χρεών.
ἐπεὶ δ᾽ ἀφῆκε πνεῦμα θαναϲίμωι ϲφαγῆι,
οὐδεὶϲ τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,
ἀλλ᾽ οἱ μὲν αὐτῶν τὴν θανοῦϲαν ἐκ χερῶν
φύλλοιϲ ἔβαλλον, οἱ δὲ πληροῦϲιν πυρὰν
κορμοὺϲ φέροντεϲ πευκίνουϲ, ὁ δ᾽ οὐ φέρων
πρὸϲ τοῦ φέροντοϲ τοιάδ᾽ ἤκουεν κακά·
Ἕϲτηκαϲ, ὦ κάκιϲτε, τῆι νεάνιδι
οὐ πέπλον οὐδὲ κόϲμον ἐν χεροῖν ἔχων;
οὐκ εἶ τι δώϲων τῆι περίϲϲ᾽ εὐκαρδίωι
ψυχήν τ᾽ ἀρίϲτηι; τοιάδ᾽ ἀμφὶ ϲῆϲ λέγων
παιδὸϲ θανούϲηϲ εὐτεκνωτάτην τέ ϲε

πακῶν γυναικῶν δυςτυχεςτάτην θ' ὁρῶ.
Χο. δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεςεν
πόλει τε τῆμῆι θεῶν ἀνάγκαιςιν τόδε.
Εκ. ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅτι βλέψω κακῶν,
πολλῶν παρόντων· ἢν γὰρ ἅψωμαί τινος,
τόδ' οὐκ ἐᾶι με, παρακαλεῖ δ' ἐκεῖθεν αὖ
λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
καὶ νῦν τὸ μὲν ςὸν ὥςτε μὴ ςτένειν πάθος
οὐκ ἂν δυναίμην ἐξαλείψαςθαι φρενός·
τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελθεῖςά μοι
γενναῖος. οὔκουν δεινόν, εἰ γῆ μὲν κακὴ
τυχοῦςα καιροῦ θεόθεν εὖ ςτάχυν φέρει,
χρηςτὴ δ' ἁμαρτοῦς' ὧν χρεὼν αὐτὴν τυχεῖν
κακὸν δίδωςι καρπόν, ἄνθρωποι δ' ἀεὶ
ὁ μὲν πονηρὸς οὐδὲν ἄλλο πλὴν κακός,
ὁ δ' ἐςθλὸς ἐςθλὸς οὐδὲ ςυμφορᾶς ὕπο
φύςιν διέφθειρ' ἀλλὰ χρηςτός ἐςτ' ἀεί;
[ἆρ' οἱ τεκόντες διαφέρουςιν ἢ τροφαί;
ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς
δίδαξιν ἐςθλοῦ· τοῦτο δ' ἤν τις εὖ μάθηι,
οἶδεν τό γ' αἰςχρὸν κανόνι τοῦ καλοῦ μαθών.]



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/374 UNIVERSITÄT LEIPZIG

καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην·
cὺ δ' ἐλθὲ καὶ cήμηνον Ἀργείοις τάδε,
μὴ θιγγάνειν μοι μηδέν' ἀλλ' εἴργειν ὄχλον
τῆς παιδός. ἔν τοι μυρίωι στρατεύματι
ἀκόλαστος ὄχλος ναυτική τ' ἀναρχία
κρείσσων πυρός, κακὸς δ' ὁ μή τι δρῶν κακόν.
cὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι,
βάψας' ἔνεγκε δεῦρο ποντίας ἁλός,
ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμήν,
νύμφην τ' ἄνυμφον παρθένον τ' ἀπάρθενον,
λούσω προθῶμαί θ'—ὡς μὲν ἀξία, πόθεν;
οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω (τί γὰρ πάθω;),
κόσμον γ' ἀγείρας' αἰχμαλωτίδων πάρα,
αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
ναίουσιν, εἴ τις τοὺς νεωστὶ δεσπότας
λαθοῦς' ἔχει τι κλέμμα τῶν αὐτῆς δόμων.
ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
ὦ πλεῖστ' ἔχων μάλιστά τ' εὐτεκνώτατε
Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων,
ὡς ἐς τὸ μηδὲν ἥκομεν, φρονήματος

τοῦ πρὶν ϲτερέντεϲ. εἶτα δῆτ᾽ ὀγκούμεθα,
ὁ μέν τιϲ ἡμῶν πλουϲίοιϲι δώμαϲιν,
ὁ δ᾽ ἐν πολίταιϲ τίμιοϲ κεκλημένοϲ;
τὰ δ᾽ οὐδέν, ἄλλωϲ φροντίδων βουλεύματα
γλώϲϲηϲ τε κόμποι. κεῖνοϲ ὀλβιώτατοϲ
ὅτωι κατ᾽ ἦμαρ τυγχάνει μηδὲν κακόν.

Χο. ἐμοὶ χρῆν ϲυμφοράν, [ϲτρ.
ἐμοὶ χρῆν πημονὰν γενέϲθαι,
Ἰδαίαν ὅτε πρῶτον ὕλαν
Ἀλέξανδροϲ εἰλατίναν
ἐτάμεθ᾽, ἅλιον ἐπ᾽ οἶδμα ναυϲτολήϲων
Ἑλένας ἐπὶ λέκτρα, τὰν
καλλίϲταν ὁ χρυϲοφαὴϲ
Ἅλιοϲ αὐγάζει.

πόνοι γὰρ καὶ πόνων [ἀντ.
ἀνάγκαι κρείϲϲονεϲ κυκλοῦνται·
κοινὸν δ᾽ ἐξ ἰδίαϲ ἀνοίαϲ
κακὸν τᾶι Cιμουντίδι γᾶι
ὀλέθριον ἔμολε ϲυμφορᾶι τ᾽ ἐπ᾽ ἄλλων,
ἐκρίθη δ᾽ ἔριϲ, ἃν ἐν Ἴ-
δαι κρίνει τριϲϲὰϲ μακάρων
παῖδαϲ ἀνὴρ βούταϲ,

ἐπὶ δορὶ καὶ φόνωι καὶ ἐμῶν μελάθρων λῶβαι· [ἐπωιδ.
στένει δὲ καί τις ἀμφὶ τὸν εὔροον Εὐρώταν
Λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα,
πολιόν τ' ἐπὶ κρᾶτα μάτηρ τέκνων θανόντων
τίθεται χέρα δρύπτεταί τε ⟨ ⟩ παρειάν,
δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς.

ΘΕΡΑΠΑΙΝΑ

γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία,
ἡ πάντα νικῶς' ἄνδρα καὶ θῆλυν σπορὰν
κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.

Χο. τί δ', ὦ τάλαινα σῆς κακογλώσσου βοῆς;
ὡς οὔποθ' εὕδει λυπρά μοι κηρύγματα.

Θε. Ἑκάβηι φέρω τόδ' ἄλγος· ἐν κακοῖσι δὲ
οὐ ῥάιδιον βροτοῖσιν εὐφημεῖν στόμα.

Χο. καὶ μὴν περῶσα τυγχάνει δόμων ὕπο
ἥδ', ἐς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.

Θε. ὦ παντάλαινα κἄτι μᾶλλον ἢ λέγω,
δέσποιν', ὄλωλας κοὐκέτ' εἶ, βλέπουσα φῶς,
ἄπαις ἄνανδρος ἄπολις ἐξεφθαρμένη.

Εκ. οὐ καινὸν εἶπας, εἰδόσιν δ' ὠνείδισας.

ἀτὰρ τί νεκρὸν τόνδε μοι Πολυξένης
ἥκεις κομίζους', ἧς ἀπηγγέλθη τάφος
πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;

Θε. ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.

Εκ. οἲ 'γὼ τάλαινα· μῶν τὸ βακχεῖον κάρα
τῆς θεσπιωιδοῦ δεῦρο Κασσάνδρας φέρεις;

Θε. ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις
τόνδ'· ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
εἴ σοι φανεῖται θαῦμα καὶ παρ' ἐλπίδας.

Εκ. οἴμοι, βλέπω δὴ παῖδ' ἐμὸν τεθνηκότα,
Πολύδωρον, ὅν μοι Θρῇξ ἔσωιζ' οἴκοις ἀνήρ.
ἀπωλόμην δύστηνος, οὐκέτ' εἰμὶ δή.
ὦ τέκνον τέκνον,
αἰαῖ, κατάρχομαι νόμον
βακχεῖον, ἐξ ἀλάστορος
ἀρτιμαθὴς κακῶν.

Χο. ἔγνως γὰρ ἄτην παιδός, ὦ δύστηνε σύ;

Εκ. ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι.
ἕτερα δ' ἀφ' ἑτέρων κακὰ κακῶν κυρεῖ,
οὐδέ ποτ' ἀστένακτος ἀδάκρυτος ἁ-
μέρα 'πισχήσει.

Χο. δείν', ὦ τάλαινα, δεινὰ πάϲχομεν κακά.
Εκ. ὦ τέκνον τέκνον ταλαίναϲ ματρόϲ,
τίνι μόρωι θνήιϲκειϲ, τίνι πότμωι κεῖϲαι,
πρὸϲ τίνοϲ ἀνθρώπων;
Θε. οὐκ οἶδ'· ἐπ' ἀκταῖϲ νιν κυρῶ θαλαϲϲίαιϲ.
Εκ. ἔκβλητον ἢ πέϲημα φοινίου δορὸϲ
ἐν ψαμάθωι λευρᾶι;
Θε. πόντου νιν ἐξήνεγκε πελάγιοϲ κλύδων.
Εκ. ὤμοι αἰαῖ,
ἔμαθον ἐνύπνιον ὀμμάτων
ἐμῶν ὄψιν (οὔ με παρέβα φάντα-
ϲμα μελανόπτερον),
ἃν ἐϲεῖδον ἀμφὶ ϲοῦ,
ὦ τέκνον, οὐκέτ' ὄντοϲ Διὸϲ ἐν φάει.
Χο. τίϲ γάρ νιν ἔκτειν'; οἶϲθ' ὀνειρόφρων φράϲαι;
Εκ. ἐμὸϲ ἐμὸϲ ξένοϲ, Θρήικιοϲ ἱππόταϲ,
ἵν' ὁ γέρων πατὴρ ἔθετό νιν κρύψαϲ.

Χο. οἴμοι, τί λέξεις; χρυσὸν ὡς ἔχοι κτανών;
Εκ. ἄρρητ' ἀνωνόμαστα, θαυμάτων πέρα,
οὐχ ὅσι' οὐδ' ἀνεκτά. ποῦ δίκα ξένων;
ὦ κατάρατ' ἀνδρῶν, ὡς διεμοιράσω
χρόα, σιδαρέωι τεμὼν φασγάνωι
μέλεα τοῦδε παιδὸς οὐδ' ᾤικτισας.
Χο. ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
δαίμων ἔθηκεν ὅστις ἐστί σοι βαρύς.
ἀλλ' εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας
'Αγαμέμνονος, τοὐνθένδε σιγῶμεν, φίλαι.

ΑΓΑΜΕΜΝΩΝ
Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφωι
ἐλθοῦσ' ἐφ' οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι
μὴ θιγγάνειν σῆς μηδέν' 'Αργείων κόρης;
ἡμεῖς μὲν οὖν εἰῶμεν οὐδ' ἐψαύομεν·
σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
ἥκω δ' ἀποστελῶν σε· τἀκεῖθεν γὰρ εὖ
πεπραγμέν' ἐστίν, εἴ τι τῶνδ' ἐστὶν καλῶς.
ἔα· τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
θανόντα Τρώων; οὐ γὰρ 'Αργεῖον πέπλοι
δέμας περιπτύσσοντες ἀγγέλλουσί μοι.

Εκ. δύστην', ἐμαυτὴν γὰρ λέγω λέγουσα cέ,
Ἑκάβη, τί δράcω; πότερα προcπέcω γόνυ
Ἀγαμέμνονοc τοῦδ' ἢ φέρω cιγῆι κακά;
Αγ. τί μοι προcώπωι νῶτον ἐγκλίναcα cὸν
δύρηι, τὸ πραχθὲν δ' οὐ λέγειc; τίc ἔcθ' ὅδε;
Εκ. ἀλλ' εἴ με δούλην πολεμίαν θ' ἡγούμενοc
γονάτων ἀπώcαιτ', ἄλγοc ἂν προcθείμεθ' ἄν.
Αγ. οὔτοι πέφυκα μάντιc, ὥcτε μὴ κλύων
ἐξιcτορῆcαι cῶν ὁδὸν βουλευμάτων.
Εκ. ἆρ' ἐκλογίζομαί γε πρὸc τὸ δυcμενὲc
μᾶλλον φρέναc τοῦδ', ὄντοc οὐχὶ δυcμενοῦc;
Αγ. εἴ τοί με βούληι τῶνδε μηδὲν εἰδέναι,
ἐc ταὐτὸν ἥκειc· καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.
Εκ. οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
τέκνοιcι τοῖc ἐμοῖcι. τί cτρέφω τάδε;
τολμᾶν ἀνάγκη, κἂν τύχω κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω cε τῶνδε γουνάτων
καὶ cοῦ γενείου δεξιᾶc τ' εὐδαίμονοc.
Αγ. τί χρῆμα μαcτεύουcα; μῶν ἐλεύθερον
αἰῶνα θέcθαι; ῥάιδιον γάρ ἐcτί cοι.
[Εκ. οὐ δῆτα· τοὺc κακοὺc δὲ τιμωρουμένη

αἰῶνα τὸν cύμπαντα δουλεύειν θέλω.]
Εκ. οὐδέν τι τούτων ὧν cὺ δοξάζειc, ἄναξ. 759
Αγ. καὶ δὴ τίν' ἡμᾶc εἰc ἐπάρκεcιν καλεῖc; 758
Εκ. ὁρᾶιc νεκρὸν τόνδ' οὗ καταcτάζω δάκρυ;
Αγ. ὁρῶ· τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.
Εκ. τοῦτόν ποτ' ἔτεκον κἄφερον ζώνηc ὕπο.
Αγ. ἔcτιν δὲ τίc cῶν οὗτοc, ὦ τλῆμον, τέκνων;
Εκ. οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίωι.
Αγ. ἦ γάρ τιν' ἄλλον ἔτεκεc ἢ κείνουc, γύναι;
Εκ. ἀνόνητά γ', ὡc ἔοικε, τόνδ' ὃν εἰcορᾶιc.
Αγ. ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πτόλιc;
Εκ. πατήρ νιν ἐξέπεμψεν ὀρρωδῶν θανεῖν.
Αγ. ποῖ τῶν τότ' ὄντων χωρίcαc τέκνων μόνον;
Εκ. ἐc τήνδε χώραν, οὗπερ ηὑρέθη θανών.
Αγ. πρὸc ἄνδρ' ὃc ἄρχει τῆcδε Πολυμήcτωρ χθονόc;
Εκ. ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυcοῦ φύλαξ.
Αγ. θνήιcκει δὲ πρὸc τοῦ καὶ τίνοc πότμου τυχών;
Εκ. τίνοc γ' ὑπ' ἄλλου; Θρήιξ νιν ὤλεcε ξένοc.
Αγ. ὦ τλῆμον· ἦ που χρυcὸν ἠράcθη λαβεῖν;
Εκ. τοιαῦτ', ἐπειδὴ cυμφορὰν ἔγνω Φρυγῶν.
Αγ. ηὗρεc δὲ ποῦ νιν; ἢ τίc ἤνεγκεν νεκρόν;
Εκ. ἥδ', ἐντυχοῦcα ποντίαc ἀκτῆc ἔπι.
Αγ. τοῦτον ματεύουc' ἢ πονοῦc' ἄλλον πόνον;

Εκ. λούτρ' ὤιχετ' οἴcουc' ἐξ ἁλὸc Πολυξένηι.
Αγ. κτανών νιν, ὡc ἔοικεν, ἐκβάλλει ξένοc.
Εκ. θαλαccόπλαγκτόν γ', ὧδε διατεμὼν χρόα.
Αγ. ὦ cχετλία cὺ τῶν ἀμετρήτων πόνων.
Εκ. ὄλωλα κοὐδὲν λοιπόν, Ἀγάμεμνον, κακῶν.
Αγ. φεῦ φεῦ· τίc οὕτω δυcτυχὴc ἔφυ γυνή;
Εκ. οὐκ ἔcτιν, εἰ μὴ τὴν Τύχην αὐτὴν λέγοιc.
ἀλλ' ὧνπερ οὕνεκ' ἀμφὶ cὸν πίπτω γόνυ
ἄκουcον. εἰ μὲν ὅcιά coι παθεῖν δοκῶ,
cτέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, cύ μοι γενοῦ
τιμωρὸc ἀνδρόc, ἀνοcιωτάτου ξένου,
ὃc οὔτε τοὺc γῆc νέρθεν οὔτε τοὺc ἄνω
δείcαc δέδρακεν ἔργον ἀνοcιώτατον
[κοινῆc τραπέζηc πολλάκιc τυχὼν ἐμοὶ
ξενίαc τ' ἀριθμῶι πρῶτα τῶν ἐμῶν φίλων·
τυχὼν δ' ὅcων δεῖ καὶ λαβὼν προμηθίαν
ἔκτεινε· τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
οὐκ ἠξίωcεν ἀλλ' ἀφῆκε πόντιον].
ἡμεῖc μὲν οὖν δοῦλοί τε κἀcθενεῖc ἴcωc·
ἀλλ' οἱ θεοὶ cθένουcι χὠ κείνων κρατῶν
νόμοc· νόμωι γὰρ τοὺc θεοὺc ἡγούμεθα

καὶ ζῶμεν ἄδικα καὶ δίκαι᾽ ὡριϲμένοι·
ὃϲ ἐϲ ϲ᾽ ἀνελθὼν εἰ διαφθαρήϲεται
καὶ μὴ δίκην δώϲουϲιν οἵτινεϲ ξένουϲ
κτείνουϲιν ἢ θεῶν ἱερὰ τολμῶϲιν φέρειν,
οὐκ ἔϲτιν οὐδὲν τῶν ἐν ἀνθρώποιϲι ϲῶν.
ταῦτ᾽ οὖν ἐν αἰϲχρῶι θέμενοϲ αἰδέϲθητί με,
οἴκτιρον ἡμᾶϲ, ὡϲ γραφεύϲ τ᾽ ἀποϲταθεὶϲ
ἰδοῦ με κἀνάθρηϲον οἷ᾽ ἔχω κακά.
τύραννοϲ ἦ ποτ᾽ ἀλλὰ νῦν δούλη ϲέθεν,
εὔπαιϲ ποτ᾽ οὖϲα, νῦν δὲ γραῦϲ ἄπαιϲ θ᾽ ἅμα,
ἄπολιϲ ἔρημοϲ ἀθλιωτάτη βροτῶν.
οἴμοι τάλαινα, ποῖ μ᾽ ὑπεξάγειϲ πόδα;
ἔοικα πράξειν οὐδέν· ὦ τάλαιν᾽ ἐγώ.
τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
μοχθοῦμεν ὡϲ χρὴ πάντα καὶ ματεύομεν,
πειθὼ δὲ τὴν τύραννον ἀνθρώποιϲ μόνην
οὐδέν τι μᾶλλον ἐϲ τέλοϲ ϲπουδάζομεν
μιϲθοὺϲ διδόντεϲ μανθάνειν, ἵν᾽ ἦν ποτε
πείθειν ἅ τιϲ βούλοιτο τυγχάνειν θ᾽ ἅμα;
τί οὖν ἔτ᾽ ἄν τιϲ ἐλπίϲαι πράξειν καλῶϲ;
οἱ μὲν γὰρ ὄντεϲ παῖδεϲ οὐκέτ᾽ εἰϲί μοι,
αὐτὴ δ᾽ ἐπ᾽ αἰϲχροῖϲ αἰχμάλωτοϲ οἴχομαι,
καπνὸν δὲ πόλεωϲ τόνδ᾽ ὑπερθρώιϲκονθ᾽ ὁρῶ.

καὶ μήν (ἴσως μὲν τοῦ λόγου ξένον τόδε,
Κύπριν προβάλλειν, ἀλλ' ὅμως εἰρήσεται)
πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται
ἡ φοιβάς, ἣν καλοῦσι Κασσάνδραν Φρύγες.
ποῦ τὰς φίλας δῆτ' εὐφρόνας λέξεις, ἄναξ;
ἢ τῶν ἐν εὐνῆι φιλτάτων ἀσπασμάτων
χάριν τιν' ἕξει παῖς ἐμή, κείνης δ' ἐγώ;
[ἐκ τοῦ σκότου τε τῶν τε νυκτερησίων
φίλτρων μεγίστη γίγνεται βροτοῖς χάρις.]
ἄκουε δή νυν. τὸν θανόντα τόνδ' ὁρᾶις;
τοῦτον καλῶς δρῶν ὄντα κηδεστὴν σέθεν
δράσεις. ἑνός μοι μῦθος ἐνδεὴς ἔτι.
εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσιν
καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει
ἢ Δαιδάλου τέχναισιν ἢ θεῶν τινος,
ὡς πάνθ' ἁμαρτῆι σῶν ἔχοιτο γουνάτων
κλαίοντ', ἐπισκήπτοντα παντοίους λόγους.

ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησιν φάος,
πιθοῦ, παράσχες χεῖρα τῆι πρεσβύτιδι
τιμωρόν, εἰ καὶ μηδέν ἐστιν ἀλλ' ὅμως.
ἐσθλοῦ γὰρ ἀνδρὸς τῆι δίκηι θ' ὑπηρετεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.

Χο. δεινόν γε, θνητοῖς ὡς ἅπαντα συμπίτνει
καὶ τῆς ἀνάγκης οἱ νόμοι διώρισαν,
φίλους τιθέντες τούς γε πολεμιωτάτους
ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.

Αγ. ἐγώ σε καὶ σὸν παῖδα καὶ τύχας σέθεν,
Ἑκάβη, δι' οἴκτου χεῖρά θ' ἱκεσίαν ἔχω,
καὶ βούλομαι θεῶν θ' οὕνεκ' ἀνόσιον ξένον
καὶ τοῦ δικαίου τήνδε σοι δοῦναι δίκην,
εἴ πως φανείη γ' ὥστε σοί τ' ἔχειν καλῶς
στρατῶι τε μὴ δόξαιμι Κασσάνδρας χάριν
Θρήικης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
ἔστιν γὰρ ἧι ταραγμὸς ἐμπέπτωκέ μοι·
τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατός,
τὸν κατθανόντα δ' ἐχθρόν· εἰ δὲ σοὶ φίλος
ὅδ' ἐστί, χωρὶς τοῦτο κοὐ κοινὸν στρατῶι.
πρὸς ταῦτα φρόντιζ'· ὡς θέλοντα μέν μ' ἔχεις
σοὶ ξυμπονῆσαι καὶ ταχὺν προσαρκέσαι,
βραδὺν δ', Ἀχαιοῖς εἰ διαβληθήσομαι.

Εκ. φεῦ.
οὐκ ἔστι θνητῶν ὅστις ἔστ' ἐλεύθερος·
ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης
ἢ πλῆθος αὐτὸν πόλεος ἢ νόμων γραφαὶ
εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
ἐπεὶ δὲ ταρβεῖς τῶι τ' ὄχλωι πλέον νέμεις,
ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
σύνισθι μὲν γάρ, ἤν τι βουλεύσω κακὸν
τῶι τόνδ' ἀποκτείναντι, συνδράσηις δὲ μή.
ἢν δ' ἐξ 'Αχαιῶν θόρυβος ἢ 'πικουρία
πάσχοντος ἀνδρὸς Θρηικὸς οἷα πείσεται
φανῆι τις, εἶργε μὴ δοκῶν ἐμὴν χάριν.
τὰ δ' ἄλλα—θάρσει—πάντ' ἐγὼ θήσω καλῶς.
Αγ. πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
λαβοῦσα γραίαι φῶτα βάρβαρον κτενεῖς
ἢ φαρμάκοισιν ἢ 'πικουρίαι τίνι;
τίς σοι ξυνέσται χείρ; πόθεν κτήσηι φίλους;
Εκ. στέγαι κεκεύθασ' αἵδε Τρωιάδων ὄχλον.
Αγ. τὰς αἰχμαλώτους εἶπας, 'Ελλήνων ἄγραν;
Εκ. σὺν ταῖσδε τὸν ἐμῶν φονέα τιμωρήσομαι.

Αγ. καὶ πῶc γυναιξὶν ἀρcένων ἔcται κράτοc;
Εκ. δεινὸν τὸ πλῆθοc cὺν δόλωι τε δύcμαχον.
Αγ. δεινόν· τὸ μέντοι θῆλυ μέμφομαι cθένοc.
Εκ. τί δ'; οὐ γυναῖκεc εἷλον Αἰγύπτου τέκνα
καὶ Λῆμνον ἄρδην ἀρcένων ἐξῴκιcαν;
ἀλλ' ὣc γενέcθω· τόνδε μὲν μέθεc λόγον,
πέμψον δέ μοι τήνδ' ἀcφαλῶc διὰ cτρατοῦ
γυναῖκα. καὶ cὺ Θρῃκὶ πλαθεῖcα ξένωι
λέξον· Καλεῖ c' ἄναccα δή ποτ' Ἰλίου
Ἑκάβη, cὸν οὐκ ἔλαccον ἢ κείνηc χρέοc,
καὶ παῖδαc, ὡc δεῖ καὶ τέκν' εἰδέναι λόγουc
τοὺc ἐξ ἐκείνηc. τὸν δὲ τῆc νεοcφαγοῦc
Πολυξένηc ἐπίcχεc, Ἀγάμεμνον, τάφον,
ὡc τώδ' ἀδελφὼ πληcίον μιᾶι φλογί,
διccὴ μέριμνα μητρί, κρυφθῆτον χθονί.
Αγ. ἔcται τάδ' οὕτω· καὶ γὰρ εἰ μὲν ἦν cτρατῶι
πλοῦc, οὐκ ἂν εἶχον τήνδε cοι δοῦναι χάριν·
νῦν δ', οὐ γὰρ ἵηc' οὐρίουc πνοὰc θεόc,
μένειν ἀνάγκη πλοῦν ὁρῶνταc ἡcύχουc.
γένοιτο δ' εὖ πωc· πᾶcι γὰρ κοινὸν τόδε,
ἰδίαι θ' ἑκάcτωι καὶ πόλει, τὸν μὲν κακὸν
κακόν τι πάcχειν, τὸν δὲ χρηcτὸν εὐτυχεῖν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/388 UNIVERSITÄT LEIPZIG

*Χο.* *σὺ μέν, ὦ πατρὶς Ἰλιάς,* [*στρ. α*
*τῶν ἀπορθήτων πόλις οὐκέτι λέξῃ·*
*τοῖον Ἑλλάνων νέφος ἀμφί σε κρύπτει*
*δορὶ δὴ δορὶ πέρσαν.*
*ἀπὸ δὲ στεφάναν κέκαρ-*
*σαι πύργων, κατὰ δ' αἰθάλου*
*κηλῖδ' οἰκτροτάταν κέχρωσαι.*
*τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.*

*μεσονύκτιος ὠλλύμαν,* [*ἀντ. α*
*ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς ἐπ' ὄσσοις*
*σκίδναται, μολπᾶν δ' ἄπο καὶ χοροποιὸν*
*θυσίαν καταπαύσας*
*πόσις ἐν θαλάμοις ἔκει-*
*το, ξυστὸν δ' ἐπὶ πασσάλῳ,*
*ναύταν οὐκέθ' ὁρῶν ὅμιλον*
*Τροίαν Ἰλιάδ' ἐμβεβῶτα.*

ἐγὼ δὲ πλόκαμον ἀναδέτοις [στρ. β
μίτραισιν ἐρρυθμιζόμαν
χρυσέων ἐνόπτρων λεύσσους' ἀτέρμονας εἰς αὐγάς,
ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν·
κέλευσμα δ' ἦν κατ' ἄστυ Τροίας τόδ'· Ὦ
παῖδες Ἑλλάνων, πότε δὴ πότε τὰν
Ἰλιάδα σκοπιὰν
πέρσαντες ἥξετ' οἴκους;

λέχη δὲ φίλια μονόπεπλος [ἀντ. β
λιποῦσα, Δωρὶς ὡς κόρα,
σεμνὰν προσίζους' οὐκ ἤνυσ' Ἄρτεμιν ἁ τλάμων·
ἄγομαι δὲ θανόντ' ἰδοῦσ' ἀκοίταν
τὸν ἐμὸν ἅλιον ἐπὶ πέλαγος·
πόλιν τ' ἀποσκοποῦσ', ἐπεὶ νόστιμον
ναῦς ἐκίνησεν πόδα καί μ' ἀπὸ γᾶς
ὥρισεν Ἰλιάδος,
τάλαιν' ἀπεῖπον ἄλγει,

τὰν τοῖν Διοσκούροιν Ἑλέναν κάσιν Ἰδαῖόν τε [ἐπῳδ.
βούταν
αἰνόπαριν κατάραι
διδοῦσ', ἐπεί με γαίας

ἐκ πατρίας ἀπώλεσεν
ἐξῴκισέν τ᾽ οἴκων γάμος οὐ γάμος ἀλλ᾽
ἀλάστορός τις οἰζύς·
ἃν μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν
μήτε πατρῷον ἵκοιτ᾽ ἐς οἶκον.

*ΠΟΛΥΜΗΣΤΩΡ*

ὦ φίλτατ᾽ ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σύ,
Ἑκάβη, δακρύω σ᾽ εἰσορῶν πόλιν τε σὴν
τήν τ᾽ ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
φεῦ·
οὐκ ἔστιν οὐδὲν πιστόν, οὔτ᾽ εὐδοξία
οὔτ᾽ αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.
φύρουσι δ᾽ αὐτὰ θεοὶ πάλιν τε καὶ πρόσω
ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίαι
σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ
θρηνεῖν, προκόπτοντ᾽ οὐδὲν ἐς πρόσθεν κακῶν;
σὺ δ᾽, εἴ τι μέμφηι τῆς ἐμῆς ἀπουσίας,
σχές· τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις
ἀπών, ὅτ᾽ ἦλθες δεῦρ᾽· ἐπεὶ δ᾽ ἀφικόμην,

ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι
ἐς ταὐτὸν ἥδε cυμπίτνει δμωὶc cέθεν,
λέγουcα μύθουc ὧν κλύων ἀφικόμην.
Εκ. αἰcχύνομαί cε προcβλέπειν ἐναντίον,
Πολυμῆcτορ, ἐν τοιοῖcδε κειμένη κακοῖc.
ὅτωι γὰρ ὤφθην εὐτυχοῦc', αἰδώc μ' ἔχει
ἐν τῶιδε πότμωι τυγχάνουc' ἵν' εἰμὶ νῦν,
κοὐκ ἂν δυναίμην προcβλέπειν ὀρθαῖc κόραιc·
ἀλλ' αὐτὸ μὴ δύcνοιαν ἡγήcηι cέθεν
[Πολυμῆcτορ· ἄλλωc δ' αἴτιόν τι καὶ νόμοc,
γυναῖκαc ἀνδρῶν μὴ βλέπειν ἐναντίον].
Πο. καὶ θαῦμά γ' οὐδέν. ἀλλὰ τίc χρεία c' ἐμοῦ;
τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
Εκ. ἴδιον ἐμαυτῆc δή τι πρὸc cὲ βούλομαι
καὶ παῖδαc εἰπεῖν cούc· ὀπάοναc δέ μοι
χωρὶc κέλευcον τῶνδ' ἀποcτῆναι δόμων.
Πο. χωρεῖτ'· ἐν ἀcφαλεῖ γὰρ ἥδ' ἐρημία.
φίλη μὲν εἶ cύ, προcφιλὲc δέ μοι τόδε
cτράτευμ' Ἀχαιῶν. ἀλλὰ cημαίνειν cε χρή·
τί χρὴ τὸν εὖ πράccοντα μὴ πράccουcιν εὖ
φίλοιc ἐπαρκεῖν; ὡc ἕτοιμόc εἰμ' ἐγώ.
Εκ. πρῶτον μὲν εἰπὲ παῖδ' ὃν ἐξ ἐμῆc χερὸc
Πολύδωρον ἔκ τε πατρὸc ἐν δόμοιc ἔχειc,
εἰ ζῆι· τὰ δ' ἄλλα δεύτερόν c' ἐρήcομαι.
Πο. μάλιcτα· τοὐκείνου μὲν εὐτυχεῖc μέροc.
Εκ. ὦ φίλταθ', ὡc εὖ κἀξίωc λέγειc cέθεν.
Πο. τί δῆτα βούληι δεύτερον μαθεῖν ἐμοῦ;

Εκ. εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί που.
Πο. καὶ δεῦρό γ' ὡς cὲ κρύφιος ἐζήτει μολεῖν.
Εκ. χρυσὸς δὲ cῶς ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
Πο. cῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.
Εκ. cῶσόν νυν αὐτὸν μηδ' ἔρα τῶν πληςίον.
Πο. ἥκιστ'· ὀναίμην τοῦ παρόντος, ὦ γύναι.
Εκ. οἶcθ' οὖν ἃ λέξαι coί τε καὶ παιςὶν θέλω;
Πο. οὐκ οἶδα· τῶι cῶι τοῦτο σημανεῖς λόγωι.
Εκ. ἔcτ', ὦ φιληθεὶς ὡς cὺ νῦν ἐμοὶ φιλῆι...
Πο. τί χρῆμ' ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
Εκ. χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
Πο. ταῦτ' ἔcθ' ἃ βούληι παιδὶ σημῆναι cέθεν;
Εκ. μάλιστα, διὰ coῦ γ'· εἶ γὰρ εὐcεβὴς ἀνήρ.
Πο. τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
Εκ. ἄμεινον, ἢν cὺ κατθάνηις, τούσδ' εἰδέναι.
Πο. καλῶς ἔλεξας· τῆιδε καὶ σοφώτερον.
Εκ. οἶcθ' οὖν 'Αθάνας 'Ιλιάδος ἵνα στέγαι;
Πο. ἐνταῦθ' ὁ χρυσός ἐcτι; σημεῖον δὲ τί;
Εκ. μέλαινα πέτρα γῆς ὑπερτέλλους' ἄνω.
Πο. ἔτ' οὖν τι βούληι τῶν ἐκεῖ φράζειν ἐμοί;
Εκ. cῶσαί σε χρήμαθ' οἷς συνεξῆλθον θέλω.
Πο. ποῦ δῆτα; πέπλων ἐντὸς ἢ κρύψας' ἔχεις;
Εκ. σκύλων ἐν ὄχλωι ταῖσδε cώιζεται στέγαις.
Πο. ποῦ δ'; αἵδ' 'Αχαιῶν ναύλοχοι περιπτυχαί.

Εκ. ἴδιαι γυναικῶν αἰχμαλωτίδων στέγαι.
Πο. τἄνδον δὲ πιστὰ κἀρcένων ἐρημία;
Εκ. οὐδεὶc Ἀχαιῶν ἔνδον ἀλλ' ἡμεῖc μόναι.
ἀλλ' ἕρπ' ἐc οἴκουc· καὶ γὰρ Ἀργεῖοι νεῶν
λῦcαι ποθοῦcιν οἴκαδ' ἐκ Τροίαc πόδα·
ὡc πάντα πράξαc ὧν cε δεῖ cτείχηιc πάλιν
ξὺν παιcὶν οὗπερ τὸν ἐμὸν ᾤκιcαc γόνον.

Χο. οὔπω δέδωκαc ἀλλ' ἴcωc δώcειc δίκην·
ἀλίμενόν τιc ὡc ἐc ἄντλον πεcὼν
λέχριοc ἐκπεcῆι φίλαc καρδίαc,
ἀμέρcαc βίον. τὸ γὰρ ὑπέγγυον
Δίκαι καὶ θεοῖcιν οὗ ξυμπίτνει,
ὀλέθριον ὀλέθριον κακόν.
ψεύcει c' ὁδοῦ τῆcδ' ἐλπὶc ἥ c' ἐπήγαγεν
θανάcιμον πρὸc Ἀίδαν, ὦ τάλαc,
ἀπολέμωι δὲ χειρὶ λείψειc βίον.

Πο. (ἔνδοθεν)
ὤμοι, τυφλοῦμαι φέγγοc ὀμμάτων τάλαc.
Χο. ἠκούcατ' ἀνδρὸc Θρηικὸc οἰμωγήν, φίλαι;
Πο. ὤμοι μάλ' αὖθιc, τέκνα, δυcτήνου cφαγῆc.

Χο. φίλαι, πέπρακται καίν᾽ ἔσω δόμων κακά.
Πο. ἀλλ᾽ οὔτι μὴ φύγητε λαιψηρῶι ποδί·
βάλλων γὰρ οἴκων τῶνδ᾽ ἀναρρήξω μυχούς.
ἰδού, βαρείας χειρὸς ὁρμᾶται βέλος.
Χο. βούλεςθ᾽ ἐπεςπέςωμεν; ὡς ἀκμὴ καλεῖ
Ἑκάβηι παρεῖναι Τρωιάςιν τε ςυμμάχους.
Εκ. ἄραςςε, φείδου μηδέν, ἐκβάλλων πύλας·
οὐ γάρ ποτ᾽ ὄμμα λαμπρὸν ἐνθήςεις κόραις,
οὐ παῖδας ὄψηι ζῶντας οὓς ἔκτειν᾽ ἐγώ.
Χο. ἦ γὰρ καθεῖλες Θρῆικα καὶ κρατεῖς ξένον,
δέςποινα, καὶ δέδρακας οἷάπερ λέγεις;
Εκ. ὄψηι νιν αὐτίκ᾽ ὄντα δωμάτων πάρος
τυφλὸν τυφλῶι ςτείχοντα παραφόρωι ποδί,
παίδων τε διςςῶν ςώμαθ᾽, οὓς ἔκτειν᾽ ἐγὼ
ςὺν ταῖςδ᾽ ἀρίςταις Τρωιάςιν· δίκην δέ μοι
δέδωκε. χωρεῖ δ᾽, ὡς ὁρᾶις, ὅδ᾽ ἐκ δόμων.
ἀλλ᾽ ἐκποδὼν ἄπειμι κἀποςτήςομαι
θυμῶι ζέοντι Θρηικὶ δυςμαχωτάτωι.

Πο. ὤμοι ἐγώ, πᾶι βῶ, πᾶι ςτῶ, πᾶι κέλςω,
τετράποδος βάςιν θηρὸς ὀρεςτέρου
τιθέμενος ἐπὶ χεῖρα καὶ ἴχνος; ποίαν
ἢ ταύταν ἢ τάνδ᾽ ἐξαλλάξω, τὰς

ἀνδροφόνους μάρψαι χρήιζων Ἰλιάδας,
αἵ με διώλεσαν;
τάλαιναι κόραι τάλαιναι Φρυγῶν,
ὦ κατάρατοι,
ποῖ καί με φυγᾶι πτώσσουσι μυχῶν;
εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
ἀκέσαι' ἀκέσαιο, τυφλόν,
Ἅλιε, φέγγος ἀπαλλάξας.
ἆ ἆ,
σίγα· κρυπτὰν βάσιν αἰσθάνομαι
τάνδε γυναικῶν. πᾶι πόδ' ἐπάιξας
σαρκῶν ὀστέων τ' ἐμπλησθῶ,
θοίναν ἀγρίων τιθέμενος θηρῶν,
ἀρνύμενος λώβας λύμας τ' ἀντίποιν'
ἐμᾶς, ὦ τάλας;
ποῖ πᾶι φέρομαι τέκν' ἔρημα λιπὼν
Βάκχαις Ἅιδα διαμοιρᾶσαι
σφακτά, κυσίν τε φοινίαν δαῖτ' ἀνή-
μερόν τ' ὄρειον ἐκβολάν;

πâι cτῶ, πâι κάμψω, [πâι βῶ]
ναῦc ὅπωc ποντίοιc πείcμαcιν λινόκροκον
φâροc cτέλλων, ἐπὶ τάνδε cυθεὶc
τέκνων ἐμῶν φύλαξ ὀλέθριον κοίταν;

Χο. ὦ τλῆμον, ὥc coι δύcφορ' εἴργαcται κακά·
δράcαντι δ' αἰcχρὰ δεινὰ τἀπιτίμια
[δαίμων ἔδωκεν ὅcτιc ἐcτί coι βαρύc].

Πο. αἰαῖ ἰὼ Θρήικηc λογχοφόρον ἔνο-
πλον εὔιππον Ἄρει κάτοχον γένοc.
ἰὼ Ἀχαιοί, ἰὼ Ἀτρεῖδαι·
βοὰν βοάν, ἀυτῶ βοάν·
ὦ ἴτε μόλετε πρὸc θεῶν.
κλύει τιc ἢ οὐδεὶc ἀρκέcει; τί μέλλετε;
γυναῖκεc ὤλεcάν με,
γυναῖκεc αἰχμαλωτίδεc·
δεινὰ δεινὰ πεπόνθαμεν.
ὤμοι ἐμâc λώβαc.
ποῖ τράπωμαι, ποῖ πορευθῶ;
ἀμπτάμενοc οὐράνιον ὑψιπετὲc ἐc μέλαθρον,
Ὠαρίων ἢ Cείριοc ἔνθα πυρὸc φλογέαc ἀφίηcιν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/397 UNIVERSITÄT LEIPZIG

ὅσσων αὐγάς, ἢ τὸν ἐς Ἅιδα
μελάγχρωτα πορθμὸν ἄιξω τάλας;

Χο. συγγνώςθ', ὅταν τις κρεῖςςον' ἢ φέρειν κακὰ
πάθηι, ταλαίνης ἐξαπαλλάξαι ζόης.

Αγ. κραυγῆς ἀκούςας ἦλθον· οὐ γὰρ ἥςυχος
πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἠχὼ διδοῦςα θόρυβον· εἰ δὲ μὴ Φρυγῶν
πύργους πεςόντας ἤιςμεν Ἑλλήνων δορί,
φόβον παρέςχ' ἂν οὐ μέςως ὅδε κτύπος.

Πο. ὦ φίλτατ', ἠιςθόμην γάρ, Ἀγάμεμνον, ςέθεν
φωνῆς ἀκούςας, εἰςορᾶις ἃ πάςχομεν;

Αγ. ἔα·
Πολυμῆςτορ ὦ δύςτηνε, τίς ς' ἀπώλεςεν;
τίς ὄμμ' ἔθηκε τυφλὸν αἱμάξας κόρας
παῖδάς τε τούςδ' ἔκτεινεν; ἦ μέγαν χόλον
ςοὶ καὶ τέκνοιςιν εἶχεν ὅςτις ἦν ἄρα.

Πο. Ἑκάβη με ςὺν γυναιξὶν αἰχμαλωτίςιν
ἀπώλες'—οὐκ ἀπώλες' ἀλλὰ μειζόνως.

Αγ. τί φήις; ςὺ τοὔργον εἴργαςαι τόδ', ὡς λέγει;
ςὺ τόλμαν, Ἑκάβη, τήνδ' ἔτλης ἀμήχανον;

Πο. ὤμοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐςτί που;
ςήμηνον, εἰπὲ ποῦ 'ςθ', ἵν' ἁρπάςας χεροῖν
διαςπάςωμαι καὶ καθαιμάξω χρόα.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416143563/398 UNIVERSITÄT LEIPZIG

Αγ. οὗτοϲ, τί πάϲχειϲ; Πο. πρὸϲ θεῶν ϲε λίϲϲομαι,
μέθεϲ μ' ἐφεῖναι τῆιδε μαργῶϲαν χέρα.
Αγ. ἴϲχ'· ἐκβαλὼν δὲ καρδίαϲ τὸ βάρβαρον
λέγ', ὡϲ ἀκούϲαϲ ϲοῦ τε τῆϲδέ τ' ἐν μέρει
κρίνω δικαίωϲ ἀνθ' ὅτου πάϲχειϲ τάδε.
Πο. λέγοιμ' ἄν. ἦν τιϲ Πριαμιδῶν νεώτατοϲ,
Πολύδωροϲ, Ἑκάβηϲ παῖϲ, ὃν ἐκ Τροίαϲ ἐμοὶ
πατὴρ δίδωϲι Πρίαμοϲ ἐν δόμοιϲ τρέφειν,
ὕποπτοϲ ὢν δὴ Τρωϊκῆϲ ἁλώϲεωϲ.
τοῦτον κατέκτειν'· ἀνθ' ὅτου δ' ἔκτεινά νιν
ἄκουϲον, ὡϲ εὖ καὶ ϲοφῆι προμηθίαι.
ἔδειϲα μή ϲοι πολέμιοϲ λειφθεὶϲ ὁ παῖϲ
Τροίαν ἀθροίϲηι καὶ ξυνοικίϲηι πάλιν,
γνόντεϲ δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα
Φρυγῶν ἐϲ αἶαν αὖθιϲ ἄρειαν ϲτόλον,
κἄπειτα Θρήικηϲ πεδία τρίβοιεν τάδε
λεηλατοῦντεϲ, γείτοϲιν δ' εἴη κακὸν
Τρώων, ἐν ὧιπερ νῦν, ἄναξ, ἐκάμνομεν.
Ἑκάβη δὲ παιδὸϲ γνοῦϲα θανάϲιμον μόρον
λόγωι με τοιῶιδ' ἤγαγ', ὡϲ κεκρυμμέναϲ
θήκαϲ φράϲουϲα Πριαμιδῶν ἐν Ἰλίωι
χρυϲοῦ· μόνον δὲ ϲὺν τέκνοιϲί μ' εἰϲάγει
δόμουϲ, ἵν' ἄλλοϲ μή τιϲ εἰδείη τάδε.
ἵζω δὲ κλίνηϲ ἐν μέϲωι κάμψαϲ γόνυ·

πολλαὶ δέ, χειρὸς αἱ μὲν ἐξ ἀριστερᾶς,
αἱ δ' ἔνθεν, ὡς δὴ παρὰ φίλωι Τρώων κόραι
θάκους ἔχουσαι κερκίδ' Ἠδωνῆς χερὸς
ᾔνουν, ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέπλους·
ἄλλαι δὲ κάμακε Θρῃκίω θεώμεναι
γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι
τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
γένοιντο, διαδοχαῖς ἀμείβουσαι χερῶν.
κᾆιτ' ἐκ γαληνῶν πῶς δοκεῖς προσφθεγμάτων
εὐθὺς λαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν
κεντοῦσι παῖδας, αἱ δὲ πολυπόδων δίκην
ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας
καὶ κῶλα· παισὶ δ' ἀρκέσαι χρῄζων ἐμοῖς,
εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν
κόμης κατεῖχον, εἰ δὲ κινοίην χέρας
πλήθει γυναικῶν οὐδὲν ἤνυτον τάλας.
τὸ λοίσθιον δέ, πῆμα πήματος πλέον,
ἐξειργάσαντο δείν'· ἐμῶν γὰρ ὀμμάτων
πόρπας λαβοῦσαι τὰς ταλαιπώρους κόρας
κεντοῦσιν αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας

φυγάδες ἔβησαν. ἐκ δὲ πηδήσας ἐγὼ
θὴρ ὣς διώκω τὰς μιαιφόνους κύνας,
ἅπαντ' ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης
βάλλων ἀράσσων. τοιάδε σπεύδων χάριν
πέπονθα τὴν σήν, πολέμιόν γε σὸν κτανών,
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς
ἢ νῦν λέγων ἔστιν τις ἢ μέλλει λέγειν,
ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
τοιόνδ'· ὁ δ' αἰεὶ ξυντυχὼν ἐπίσταται.
Χο. μηδὲν θρασύνου μηδὲ τοῖς σαυτοῦ κακοῖς
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψηι γένος.
[πολλαὶ γὰρ ἡμῶν· αἱ μέν εἰσ' ἐπίφθονοι,
αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.]
Εκ. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον·
ἀλλ' εἴτε χρήστ' ἔδρασε χρήστ' ἔδει λέγειν,
εἴτ' αὖ πονηρὰ τοὺς λόγους εἶναι σαθρούς,

καὶ μὴ δύναcθαι τἄδικ' εὖ λέγειν ποτέ.
cοφοὶ μὲν οὖν εἰc' οἱ τάδ' ἠκριβωκότες,
ἀλλ' οὐ δύνανται διὰ τέλους εἶναι cοφοί,
κακῶc δ' ἀπώλοντ'· οὔτις ἐξήλυξέ πω.
καί μοι τὸ μὲν cὸν ὧδε φροιμίοις ἔχει·
πρὸς τόνδε δ' εἶμι καὶ λόγοις ἀμείψομαι·
ὃς φῂς 'Αχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν
'Αγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν.
ἀλλ', ὦ κάκιστε, πρῶτον οὔποτ' ἂν φίλον
τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησιν γένος
οὐδ' ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ
ἢ συγγενὴς ὢν ἢ τίν' αἰτίαν ἔχων;
ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
ὁ χρυσός, εἰ βούλοιο τἀληθῆ λέγειν,
ἔκτεινε τὸν ἐμὸν παῖδα καὶ κέρδη τὰ σά.
ἐπεὶ δίδαξον τοῦτο· πῶς, ὅτ' εὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πτόλιν,
ἔζη τε Πρίαμος Ἕκτορός τ' ἤνθει δόρυ,
τί οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
θέσθαι, τρέφων τὸν παῖδα κἀν δόμοις ἔχων
ἔκτεινας ἢ ζῶντ' ἦλθες 'Αργείοις ἄγων;
ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,

καπνὸς δ᾽ ἐσήμην᾽ ἄστυ πολεμίοις ὕπο,
ξένον κατέκτας σὴν μολόντ᾽ ἐφ᾽ ἑστίαν.
πρὸς τοῖσδε νῦν ἄκουσον ὡς φαίνῃ κακός·
χρῆν σ᾽, εἴπερ ἦσθα τοῖς ᾽Αχαιοῖσιν φίλος,
τὸν χρυσὸν ὃν φὴις οὐ σὸν ἀλλὰ τοῦδ᾽ ἔχειν
δοῦναι φέροντα πενομένοις τε καὶ χρόνον
πολὺν πατρῴας γῆς ἀπεξενωμένοις·
σὺ δ᾽ οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ᾽ ἐν δόμοις.
καὶ μὴν τρέφων μὲν ὥς σε παῖδ᾽ ἐχρῆν τρέφειν
σώσας τε τὸν ἐμόν, εἶχες ἂν καλὸν κλέος·
ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι
φίλοι· τὰ χρηστὰ δ᾽ αὔθ᾽ ἕκαστ᾽ ἔχει φίλους.
εἰ δ᾽ ἐσπάνιζες χρημάτων, ὁ δ᾽ εὐτύχει,
θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ᾽ οὑμὸς μέγας·
νῦν δ᾽ οὔτ᾽ ἐκεῖνον ἄνδρ᾽ ἔχεις σαυτῷ φίλον
χρυσοῦ τ᾽ ὄνησις οἴχεται παῖδές τε σοὶ
αὐτός τε πράσσεις ὧδε. σοὶ δ᾽ ἐγὼ λέγω,
᾽Αγάμεμνον· εἰ τῷδ᾽ ἀρκέσεις, κακὸς φανῇ·
οὔτ᾽ εὐσεβῆ γὰρ οὔτε πιστὸν οἷς ἐχρῆν,
οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον·
αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν
τοιοῦτον ὄντα· δεσπότας δ᾽ οὐ λοιδορῶ.

Χο. φεῦ φεῦ· βροτοῖcιν ὡc τὰ χρηcτὰ πράγματα
χρηcτῶν ἀφορμὰc ἐνδίδωc᾽ ἀεὶ λόγων.
Αγ. ἀχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά,
ὅμωc δ᾽ ἀνάγκη· καὶ γὰρ αἰcχύνην φέρει
πρᾶγμ᾽ ἐc χέραc λαβόντ᾽ ἀπώcαcθαι τόδε.
ἐμοὶ δ᾽, ἵν᾽ εἰδῇc, οὔτ᾽ ἐμὴν δοκεῖc χάριν
οὔτ᾽ οὖν Ἀχαιῶν ἄνδρ᾽ ἀποκτεῖναι ξένον,
ἀλλ᾽ ὡc ἔχῃc τὸν χρυcὸν ἐν δόμοιcι coῖc.
λέγειc δὲ cαυτῶι πρόcφορ᾽ ἐν κακοῖcιν ὤν.
τάχ᾽ οὖν παρ᾽ ὑμῖν ῥάιδιον ξενοκτονεῖν·
ἡμῖν δέ γ᾽ αἰcχρὸν τοῖcιν Ἕλληcιν τόδε.
πῶc οὖν cε κρίναc μὴ ἀδικεῖν φύγω ψόγον;
οὐκ ἂν δυναίμην. ἀλλ᾽ ἐπεὶ τὰ μὴ καλὰ
πράccειν ἐτόλμαc, τλῆθι καὶ τὰ μὴ φίλα.
Πο. οἴμοι, γυναικόc, ὡc ἔοιχ᾽, ἡccώμενοc
δούληc ὑφέξω τοῖc κακίοcιν δίκην.
Εκ. οὔκουν δικαίωc, εἴπερ εἰργάcω κακά;
Πο. οἴμοι τέκνων τῶνδ᾽ ὀμμάτων τ᾽ ἐμῶν τάλαc.
Εκ. ἀλγεῖc; τί δ᾽; ἦ ᾽μὲ παιδὸc οὐκ ἀλγεῖν δοκεῖc;
Πο. χαίρειc ὑβρίζουc᾽ εἰc ἔμ᾽, ὦ πανοῦργε cύ.
Εκ. οὐ γάρ με χαίρειν χρή cε τιμωρουμένην;
Πο. ἀλλ᾽ οὐ τάχ᾽, ἡνίκ᾽ ἄν cε ποντία νοτίc...
Εκ. μῶν ναυcτολήcῃι γῆc ὅρουc Ἑλληνίδοc;



UNIVERSITÄTS-BIBLIOTHEK LEIPZIG

Πο. κρύψηι μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.
Εκ. πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων;
Πο. αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσηι ποδί.
Εκ. ὑποπτέροις νώτοισιν ἢ ποίωι τρόπωι;
Πο. κύων γενήσηι πύρς' ἔχουσα δέργματα.
Εκ. πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
Πο. ὁ Θρηιξὶ μάντις εἶπε Διόνυσος τάδε.
Εκ. σοὶ δ' οὐκ ἔχρησεν οὐδὲν ὧν ἔχεις κακῶν;
Πο. οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλωι.
Εκ. θανοῦσα δ' ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω †βιον†;
Πο. θανοῦσα· τύμβωι δ' ὄνομα σῶι κεκλήσεται...
Εκ. μορφῆς ἐπωιδὸν μή τι τῆς ἐμῆς ἐρεῖς;
Πο. κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
Εκ. οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
Πο. καὶ σήν γ' ἀνάγκη παῖδα Κασσάνδραν θανεῖν.
Εκ. ἀπέπτυσ'· αὐτῶι ταῦτα σοὶ δίδωμ' ἔχειν.
Πο. κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
Εκ. μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
Πο. καὐτόν γε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.
Αγ. οὗτος σύ, μαίνηι καὶ κακῶν ἐρᾶις τυχεῖν;
Πο. κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀμμένει.

Αγ. οὐχ ἕλξετ᾽ αὐτόν, δμῶες, ἐκποδὼν βίαι;
Πο. ἀλγεῖς ἀκούων; Αγ. οὐκ ἐφέξετε στόμα;
Πο. ἐγκλήιετ᾽· εἴρηται γάρ. Αγ. οὐχ ὅσον τάχος
νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
ἐπείπερ οὕτω καὶ λίαν θραςυςτομεῖ;
Ἑκάβη, cὺ δ᾽, ὦ τάλαινα, διπτύχους νεκροὺς
cτείχουσα θάπτε· δεσποτῶν δ᾽ ὑμᾶς χρεὼν
σκηναῖς πελάζειν, Τρωιάδες· καὶ γὰρ πνοὰς
πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
εὖ δ᾽ ἐς πάτραν πλεύσαιμεν, εὖ δὲ τἀν δόμοις
ἔχοντ᾽ ἴδοιμεν τῶνδ᾽ ἀφειμένοι πόνων.

Χο. ἴτε πρὸς λιμένας σκηνάς τε, φίλαι,
τῶν δεσποσύνων πειρασόμεναι
μόχθων· στερρὰ γὰρ ἀνάγκη.

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/407
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/408
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/409
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416143563/410
UNIVERSITÄT LEIPZIG